BYZANTINE GREEK SERIES · VOLUME 73

The Catechetical Lectures

Cyril of Jerusalem

ΚΑΤΗΧΗΣΕΙΣ

The Catechetical Lectures

Part Two: Lectures XIII–XVIII and the Mystagogical Lectures

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 73 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Touttée's text, as Migne
prints it in the Patrologia Graeca, vol. 33 (Paris, 1857)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the edition's paragraph number where a paragraph begins.

CONTENTS

XIII · On Christ Crucified and Buried 7
XIV · On the Resurrection and the Ascension 60
XV · On the Second Coming of Christ 102
XVI · On the Holy Spirit, I 147
XVII · On the Holy Spirit, II 187
XVIII · The Resurrection, the Catholic Church, and Life Eternal . . 236
Mystagogical Lecture I · On the Renunciation 279
Mystagogical Lecture II · On Baptism 289
Mystagogical Lecture III · On the Chrism 297
Mystagogical Lecture IV · On the Body and Blood of Christ 304
Mystagogical Lecture V · On the Liturgy 311

ΚΑΤΗΧΗΣΙΣ ΙΓ΄ ΦΩΤΙΖΟΜΕΝΩΝ

XIII · ON CHRIST CRUCIFIED AND BURIED

Every deed of Christ is the Church's boast, but the cross is the boast of boasts: the man born blind, Lazarus, and the five thousand were single wonders, while the cross enlightened, loosed, and redeemed the whole world. He who died was no mere man but the only-begotten Son, and he suffered truly, not in appearance, going willingly to his passion as to his glory. Cyril finds each step foretold: the kiss, the thirty pieces of silver, the binding, the blows, Herod, the thorns, the midday darkness, the parted garments, the vinegar, the robbers, and the rock-hewn tomb. The penitent robber enters paradise before Abraham. Let the faithful seal themselves with the cross in all they do and never deny it, for Judas, Gethsemane, and Golgotha convict the denier, and the cross will herald Christ's return.

Ἐν Ἰεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, Σταυρωθέντα καὶ
in Jerusalem extemporized on the Crucified and
ταφέντα· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· Κύριε, τίς ἐπίστευσε
buried and reading from — Isaiah Lord who believed
τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;
the report our and the arm of-Lord to-whom was-revealed
καὶ ἑξῆς· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ τὰ ἑξῆς.
and next as a-sheep to slaughter was-led and the next
Καύχημα μὲν τῆς καθολικῆς Ἐκκλησίας καὶ πᾶσα πρᾶξις 1
boast indeed of-the catholic Church also every deed
Χριστοῦ· καύχημα δὲ τῶν καυχημάτων ὁ σταυρός. Καὶ
of-Christ boast but of-the boasts the cross and
τοῦτο γινώσκων ὁ Παῦλος, φησίν· Ἐμοὶ δὲ μὴ γένοιτο
this knowing — Paul says to-me but not may-it-be
καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. Θαυμαστὸν
to-boast if not in the cross — of-Christ wonderful
μὲν γὰρ ἦν τὸ καὶ τυφλὸν ἐκ γενετῆς ἐν τῷ Σιλωὰμ
indeed for was the also blind from birth in — Siloam

ἀναβλέψαι· ἀλλὰ τί πρὸς τοὺς τυφλοὺς τῆς οἰκουμένης;
to-recover-sight but what toward the blind of-the world
Μέγα μὲν καὶ ὑπὲρ φύσιν τὸ τὸν Λάζαρον τετραήμερον
great indeed and beyond nature the — Lazarus four-days-dead
ἀναστῆναι· ἀλλὰ μέχρις ἐκείνου μόνου ἦν ἡ χάρις, τί δὲ
to-rise but up-to him alone was the grace what but
πρὸς τοὺς ἐν τῇ οἰκουμένῃ ταῖς ἁμαρτίαις νενεκρωμένους;
toward the(-ones) in the world by-the sins deadened
Θαυμαστὸν τὸ πηγάσαι τροφὴν πέντε ἄρτους εἰς τοὺς
wonderful the to-spring-forth food five loaves for the
πεντακισχιλίους· ἀλλὰ τί πρὸς τοὺς λιμώσσοντας ἐν
five-thousand but what toward the(-ones) starving in
ἀγνωσίᾳ κατὰ πᾶσαν τὴν οἰκουμένην; Θαυμαστὸν τὸ
ignorance throughout all the world wonderful the
λυθῆναι τὴν δέκα καὶ ὀκτὼ ἔτη δεδεμένην ὑπὸ τοῦ
to-be-loosed the(-woman) ten and eight years bound by —
Σατανᾶ· ἀλλὰ τί πρὸς ἡμᾶς πάντας τοὺς ταῖς σειραῖς
Satan but what toward us all the(-ones) by-the chains
τῶν ἁμαρτιῶν ἡμῶν καταδεδεμένους; Ὁ δὲ τοῦ σταυροῦ
of-the sins our bound-down the but of-the cross
στέφανος, ἐφωταγώγησε μὲν τοὺς ἐν ἀγνωσίᾳ τυφλούς,
crown enlightened indeed the in ignorance blind
ἔλυσε δὲ πάντας τοὺς ὑπὸ τῆς ἁμαρτίας κατεχομένους,
loosed and all the(-ones) by the sin held
καὶ κόσμον ὅλον ἀνθρώπων ἐλυτρώσατο.
and world whole of-men redeemed

2 Καὶ μὴ θαυμάσῃς εἰ κόσμος ὅλος ἐλυτρώθη. Οὐ γὰρ
and not marvel if world whole was-redeemed not for
ἦν ἄνθρωπος ψιλὸς ἀλλὰ Υἱὸς Θεοῦ μονογενής, ὁ
was man mere but Son of-God only-begotten the(-one)
ὑπεραποθνήσκων. Καίτοιγε ἴσχυσεν ἑνὸς ἀνδρὸς τοῦ Ἀδὰμ
dying-on-behalf and-yet was-strong of-one man — of-Adam

ἡ ἁμαρτία, θάνατον ἐνέγκαι τῷ κόσμῳ. Εἰ δὲ τῷ
the sin death to-bring to-the world if but by-the
παραπτώματι τοῦ ἑνὸς, θάνατος ἐβασίλευσεν εἰς τὸν κόσμον·
trespass of-the one death reigned into the world
πῶς οὐχὶ μᾶλλον τῇ δικαιοσύνῃ τοῦ ἑνὸς ἡ ζωὴ βασιλεύσει;
how not rather by-the righteousness of-the one the life will-reign
καὶ εἰ τότε διὰ τὸ ξύλον τῆς βρώσεως ἐξεβλήθησαν ἐκ
and if then because-of the tree of-the eating they-were-cast-out from
παραδείσου· ἄρα διὰ τὸ ξύλον Ἰησοῦ, νῦν εὐκοπώτερον
paradise then because-of the tree of-Jesus now more-easily
οἱ πιστεύοντες εἰς παράδεισον οὐκ εἰσελεύσονται; Εἰ
the(-ones) believing into paradise not will-enter if
ὁ πρωτόπλαστος ἀπὸ γῆς ἤνεγκεν οἰκουμενικὸν θάνατον·
the first-formed from earth brought world-wide death
ὁ πλάσας αὐτὸν ἀπὸ γῆς, ἆρα οὐ φέρει ζωὴν αἰώνιον,
the(-one) having-formed him from earth — not brings life eternal
αὐτὸς ὢν ἡ ζωή; Εἰ Φινεὲς ζηλώσας, καὶ ἀνελὼν
himself being the life if Phinees having-been-zealous and having-slain
τὸν αἰσχροποιὸν, κατέπαυσε τοῦ Θεοῦ τὴν ὀργήν· Ἰησοῦς
the shameful-doer stopped — of-God the wrath Jesus
οὐκ ἄλλον ἀνελὼν, ἀλλ᾽ ἑαυτὸν ἀντίλυτρον παραδοὺς,
not another having-slain but himself ransom having-given-over
ἄρα τὴν ὀργὴν οὐ λύει τὴν κατὰ τῶν ἀνθρώπων;
then the wrath not looses the(-wrath) against the men
Μὴ τοίνυν ἐπαισχυνώμεθα τῷ σταυρῷ τοῦ Σωτῆρος, ἀλλὰ 3
not therefore let-us-be-ashamed-of the cross of-the Savior but
μᾶλλον ἐγκαυχώμεθα. Ὁ γὰρ λόγος τοῦ σταυροῦ, Ἰουδαίοις
rather let-us-glory the for word of-the cross to-Jews
μέν ἐστι σκάνδαλον, ἔθνεσι δὲ μωρία, ἡμῖν δὲ σωτηρία.
indeed is a-stumbling-block to-gentiles but foolishness to-us but salvation
Καὶ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί· τοῖς
and to-the(-ones) indeed perishing foolishness it-is to-the(-ones)

δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστιν. Οὐ γὰρ ἦν
but being-saved to-us power of-God it-is not for was
ψιλὸς ἄνθρωπος, καθὼς εἴρηται, ὁ ὑπεραποθνήσκων,
mere man as has-been-said the(-one) dying-on-behalf
ἀλλὰ Υἱὸς Θεοῦ Θεὸς ἐνανθρωπήσας. Εἶτα, τὸ μὲν ἐπὶ
but Son of-God God become-man then the indeed under
Μωσέως πρόβατον μακρὰν ἀπήλασε τὸν ὀλοθρεύοντα·
Moses sheep far drove-away the destroyer
τὸ δὲ τοῦ Θεοῦ πρόβατον, τὸ αἶρον τὴν ἁμαρτίαν
the but — of-God sheep the(-one) taking-away the sin
τοῦ κόσμου, πολὺ μᾶλλον οὐκ ἠλευθέρου τῶν ἁμαρτιῶν;
of-the world much rather not freed from-the sins
Ἀλλὰ τὸ μὲν αἷμα τοῦ ἀλόγου προβάτου τὴν σωτηρίαν
but the indeed blood of-the irrational sheep the salvation
παρεῖχε, τὸ δὲ τοῦ Μονογενοῦς πολὺ μᾶλλον οὐ
provided the(-blood) but of-the Only-begotten much rather not
σώζει; Εἴ τις ἀπιστεῖ τῇ δυνάμει τοῦ σταυρωθέντος,
saves if any-one disbelieves the power of-the crucified(-one)
ἐξεταζέτω τοὺς δαίμονας· εἴ τις οὐ πιστεύει τοῖς λόγοις,
let-him-examine the demons if any-one not believes the words
πιστευέτω τοῖς φαινομένοις. Πολλοὶ κατὰ τὴν οἰκουμένην
let-him-believe the appearances many throughout the world
ἐσταυρώθησαν, ἀλλ᾽ οὐδένα πτήσσουσιν οἱ δαίμονες· τοῦ
were-crucified but nobody cower-before the demons of-the
δὲ ὑπὲρ ἡμῶν σταυρωθέντος Χριστοῦ καὶ τὸ σημεῖον
but on-behalf-of us crucified of-Christ also the sign
ἰδόντες μόνον τοῦ σταυροῦ, πτήσσουσιν οἱ δαίμονες·
having-seen only of-the cross cower the demons
ἐπειδή, οἱ μὲν δι᾽ οἰκείας ἁμαρτίας ἀπέθανον· ὁ δὲ
since the(-ones) indeed through own sin died he but
ὑπὲρ ἁμαρτιῶν ἀλλοτρίων· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν,
on-behalf-of sins of-others sin for not he-did

οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Οὐ Πέτρος
nor was-found guile in the mouth his not Peter
ἦν ὁ τοῦτο λέγων, ἐπεὶ ἂν ὑποπτευθῇ χαρίζεσθαι
was the(-one) this saying since — he-would-be-suspected to-flatter
τῷ διδασκάλῳ· ἀλλ᾽ Ἡσαΐας ἐστὶν ὁ λέγων, ὁ
the teacher but Isaiah is the(-one) saying the(-one)
σαρκὶ μὲν μὴ συμπαρὼν, πνεύματι δὲ τὴν ἔνσαρκον
in-flesh indeed not being-present in-spirit but the incarnate
ἐπιδημίαν προθεωρήσας. Καὶ τί μοι μάρτυρα νῦν
sojourn having-foreseen and why for-me witness now
φέρειν μόνον προφήτην; λάμβανε μάρτυρα Πιλᾶτον αὐτὸν
to-bring alone prophet take witness Pilate himself
τὸν καταδικάσαντα, λέγοντα· Οὐδὲν αἴτιον εὑρίσκω
the(-one) having-condemned saying nothing blameworthy I-find
ἐν τῷ ἀνθρώπῳ τούτῳ. Διδοὺς δὲ τοῦτον ἔκδοτον,
in the man this handing-over but him delivered
ἀπονιψάμενός τε τὰς χεῖρας, Ἀθῷος, φησὶν, εἰμὶ τοῦ
having-washed and the hands innocent says I-am of-the
αἵματος τοῦ δικαίου τούτου. Ἔστι καὶ ἄλλος μάρτυς τῆς
blood of-the just this there-is also other witness of-the
ἀναμαρτησίας τοῦ Ἰησοῦ, ὁ πρωτοστάτης τοῦ παραδείσου
sinlessness — of-Jesus the first-comer of-the paradise
ληστὴς, ἐπιτιμῶν τῷ πλησίον καὶ λέγων· Ἡμεῖς ἄξια
robber rebuking the neighbor and saying we worthy
ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν κακὸν
of-what we-did receive this(-one) but nothing evil
ἐποίησε· παρῆμεν γὰρ ἐγώ τε καὶ σὺ τῇ κρίσει·
did were-present for I both and you at-the judgment
Ἔπαθεν οὖν Ἰησοῦς κατὰ ἀλήθειαν ὑπὲρ πάντων 4
suffered then Jesus in truth on-behalf-of all
ἀνθρώπων· οὐ γὰρ δόκησις ὁ σταυρός, ἐπεὶ δόκησις καὶ ἡ
men not for seeming the cross since seeming also the

λύτρωσις· οὐ φαντασιώδης ὁ θάνατος, ἐπεὶ καὶ μυθώδης
redemption not phantasmal the death since also mythical
ἡ σωτηρία· εἰ φαντασιώδης ὁ θάνατος, ἀληθεῖς οἱ
the salvation if phantasmal the death true the(-ones)
λέγοντες· Ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος ἔλεγεν ἔτι ζῶν·
saying we-remembered that that the deceiver said still living
Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Τὸ μὲν οὖν πάθος ἀληθές.
after three days I-rise the indeed then suffering true
Ἀληθῶς γὰρ ἐσταυρώθη, καὶ οὐκ ἐπαισχυνόμεθα· ἐσταυρώθη,
truly for he-was-crucified and not we-are-ashamed he-was-crucified
καὶ οὐκ ἀρνούμεθα· ἀλλὰ μᾶλλον καυχῶμαι λέγων. Κἂν γὰρ
and not we-deny but rather I-glory saying even-if for
ἀρνήσομαι νῦν, ἐλέγχει με οὗτος ὁ Γολγοθᾶς, οὗ πλησίον
I-will-deny now refutes me this — Golgotha which near
νῦν πάντες πάρεσμεν· ἐλέγχει με τοῦ σταυροῦ τὸ ξύλον,
now all we-are-present refutes me of-the cross the wood
τὸ κατὰ μικρὸν ἐντεῦθεν πάσῃ τῇ οἰκουμένῃ λοιπὸν
the(-wood) by little from-here to-all the world henceforth
διαδοθέν. Ὁμολογῶ τὸν σταυρὸν, ἐπειδὴ οἶδα τὴν ἀνάστασιν.
distributed I-confess the cross since I-know the resurrection
Εἰ γὰρ σταυρωθεὶς ἀπέμεινεν, οὐκ ἂν ἴσως ὡμολόγησα·
if for crucified he-had-remained not — perhaps I-would-have-confessed
συνέκρυψα γὰρ τάχα ἐμῷ διδασκάλῳ. Ἀναστάσεως δὲ
I-would-have-hidden-with for perhaps my teacher of-resurrection but
τὸν σταυρὸν διαδεξαμένης, οὐκ ἐπαισχύνομαι διηγούμενος.
the cross having-succeeded not I-am-ashamed narrating
5 Πᾶσι μὲν οὖν ὁμοίως ἔνσαρκος ὢν ἐσταυρώθη· ἀλλ' οὐ
to-all indeed then alike in-flesh being he-was-crucified but not
διὰ τὰς ὁμοίας ἁμαρτίας. Οὐ γὰρ διὰ φιλοχρηματίαν
because-of the like sins not for because-of love-of-money
ἤχθη εἰς θάνατον· ἀκτημοσύνης γὰρ ἦν διδάσκαλος.
he-was-led to death of-poverty for he-was teacher

Οὐδὲ δι᾽ ἐπιθυμίαν κατεδικάσθη· αὐτὸς γὰρ λέγει
nor because-of lust was-he-condemned he for says
σαφῶς· Ὃς ἐὰν ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι,
clearly whoever — looks-at a-woman toward the to-lust
ἤδη ἐμοίχευσεν αὐτήν. Οὐ κατὰ προπέτειαν
already has-committed-adultery-with her not by rashness
πλήξας ἢ τύψας· ἔστρεφε γὰρ καὶ τὴν ἄλλην σιαγόνα
having-struck or having-beaten he-turned for also the other cheek
τῷ τύπτοντι. Οὐ τοῦ νόμου καταφρονήσας· ἦν γὰρ
to-the(-one) striking not the law having-despised he-was for
τοῦ νόμου πληρωτής. Οὐ προφήτην λοιδορήσας· αὐτὸς
of-the law fulfiller not prophet having-reviled he
γὰρ ἦν ὁ ὑπὸ τῶν προφητῶν κηρυσσόμενος. Οὐκ
for was the(-one) by the prophets proclaimed not
ἀποστερήσας μισθόν· ἀμισθὶ γὰρ καὶ δωρεὰν ἐθεράπευεν.
having-defrauded wage without-pay for and freely he-healed
Οὐ λόγοις ἁμαρτὼν, οὐ πράξεσιν, οὐκ ἐνθυμήσεσιν· Ὃς
not in-words having-sinned not in-deeds not in-thoughts who
ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι
sin not did nor was-found guile in the mouth
αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ
his who being-reviled not reviled-back suffering not
ἠπείλει· ὁ ἐλθὼν ἐπὶ τὸ πάθος οὐκ ἄκων, ἀλλ᾽
threatened the(-one) having-come to the passion not unwilling but
ἑκὼν· κἂν τις παραιτούμενος εἴπῃ καὶ νῦν, Ἵλεως σοι,
willing even-if anyone deprecating say also now merciful to-you
Κύριε, λέξει πάλιν· Ὕπαγε ὀπίσω μου, Σατανᾶ.
Lord he-will-say again go behind me Satan
Καὶ θέλεις γε πεισθῆναι, ὅτι ἑκὼν ἦλθεν ἐπὶ τὸ πάθος; 6
and do-you-wish indeed to-be-persuaded that willing he-came to the passion
Οἱ λοιποὶ μὲν ἄκοντες ἀποθνήσκουσιν, οἱ ἀγνοοῦντες·
the others indeed unwilling die the(-ones) not-knowing

οὗτος δὲ προέλεγε περὶ τοῦ πάθους· Ἰδοὺ παραδίδοται ὁ
this(-one) but foretold about the passion behold is-handed-over the
Υἱὸς τοῦ ἀνθρώπου εἰς τὸ σταυρωθῆναι. Οἶδας δὲ διὰ
Son of-the man to the to-be-crucified do-you-know but for
τί τὸν θάνατον οὐκ ἔφυγεν ὁ φιλάνθρωπος; Ἵνα μὴ ὅλος
what the death not fled the loving-to-man that not whole
ταῖς ἁμαρτίαις ἀπόληται ὁ κόσμος· Ἰδοὺ ἀναβαίνομεν εἰς
by-the sins may-perish the world behold we-go-up to
Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου,
Jerusalem and will-be-handed-over the Son of-the man
καὶ σταυρωθήσεται· καὶ πάλιν· Ἐστήριξε τὸ πρόσωπον
and will-be-crucified and again he-set the face
αὐτοῦ, εἰς Ἱερουσαλὴμ πορεύεσθαι. Καὶ θέλεις γνῶναι
his to Jerusalem to-go and do-you-wish to-know
σαφῶς, ὅτι δόξα ἐστὶ τῷ Ἰησοῦ ὁ σταυρός; αὐτοῦ ἄκουε
clearly that glory is — to-Jesus the cross him hear
λέγοντος, καὶ μὴ ἐμοῦ. Προεδίδου ὁ Ἰούδας ἀγνώμων
saying and not me betrayed — Judas ungrateful
γενόμενος πρὸς τὸν οἰκοδεσπότην· ἀρτίως ἐξελθὼν ἀπὸ
having-become toward the master-of-the-house just-now having-gone-out from
τραπέζης καὶ ποτήριον εὐλογίας πιὼν, ἀντὶ πόματος
table and cup of-blessing having-drunk instead-of drink
σωτηρίας αἷμα δίκαιον ἐκχέαι ἤθελεν· Ὁ ἐσθίων ἄρτους
of-salvation blood just to-shed he-wished the(-one) eating loaves
αὐτοῦ, ἐμεγάλυνεν ἐπ᾽ αὐτὸν πτερνισμόν· ἀρτίως αἱ χεῖρες
his magnified against him supplanting just-now the hands
τὰς εὐλογίας ἐδέχοντο, καὶ ἀρτίως διὰ τὸ ἀργύριον
the blessings were-receiving and just-now because-of the silver
τῆς προδοσίας τὸν θάνατον κατεσκεύαζε. Καὶ ἐλεγχθεὶς,
of-the betrayal the death he-was-preparing and having-been-refuted
καὶ ἀκούσας τὸ, Σὺ εἶπας, πάλιν ἐξῆλθεν. Εἶτα ἔλεγεν
and having-heard the you said again he-went-out then said

ὁ Ἰησοῦς. Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ
— Jesus has-come the hour that may-be-glorified the Son of-the
ἀνθρώπου. Βλέπεις πῶς δόξαν οἰκείαν οἶδε τὸν σταυρόν;
man you-see how glory own he-knows the cross
Εἶτα Ἡσαΐας μὲν πρισθεὶς οὐκ αἰσχύνεται, Χριστὸς δὲ
then Isaiah indeed sawn-asunder not is-ashamed Christ but
ὑπὲρ κόσμου τελευτῶν αἰσχυνθήσεται; Νῦν ἐδοξάσθη
on-behalf-of world dying will-be-ashamed now was-glorified
ὁ Υἱὸς τοῦ ἀνθρώπου· οὐχ ὅτι πρότερον οὐκ εἶχε τὴν
the Son of-the man not that before not he-had the
δόξαν· δεδοξασμένος γὰρ ἦν τῇ δόξῃ, τῇ πρὸ
glory glorified for he-was with-the glory the(-glory) before
καταβολῆς κόσμου· ἀλλ᾽ ἐδοξάζετο μὲν ὡς Θεὸς ἀεί· νῦν
foundation of-world but he-was-glorified indeed as God always now
δὲ ἐδοξάζετο, τῆς ὑπομονῆς φορήσας τὸν στέφανον. Οὐκ
but he-was-glorified of-the endurance having-worn the crown not
ἀναγκαστίως ἀφῆκε τὴν ζωὴν, οὐδὲ βιοσφαγῶς ἀνῃρέθη
under-compulsion he-gave-up the life nor by-violent-slaughter was-he-taken-off
ἀλλ᾽ ἑκουσίως· ἄκουε τί λέγει· Ἐξουσίαν ἔχω θεῖναι
but willingly hear what he-says authority I-have to-lay-down
τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.
the soul my and authority I-have again to-take it
Βουλόμενος συγχωρῶ τοῖς ἐχθροῖς· εἰ γὰρ μὴ ἐβουλόμην,
willing I-yield to-the enemies if for not I-were-willing
οὐκ ἐγίνετο. Ἦλθε τοίνυν ἐκ προαιρέσεως ἐπὶ τὸ πάθος,
not it-would-happen he-came therefore from choice to the passion
χαίρων ἐπὶ τῷ κατορθώματι, μειδιῶν ἐπὶ τῷ στεφάνῳ,
rejoicing at the achievement smiling at the crown
εὐφραινόμενος ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ· οὐκ
being-gladdened at the of-the men salvation not
ἐπαισχυνόμενος τὸν σταυρόν· ἔσωζε γὰρ τὴν οἰκουμένην.
being-ashamed-of the cross he-was-saving for the world

Οὐ γὰρ ἦν ἄνθρωπος εὐτελὴς ὁ πάσχων, ἀλλὰ Θεὸς
not for was man paltry the(-one) suffering but God
ἐνανθρωπήσας, καὶ τὸν τῆς ὑπομονῆς ἀγωνιζόμενος ἆθλον.
become-man and the of-the endurance contending prize

7 Ἀλλ' ἀντιλέγουσιν οἱ Ἰουδαῖοι, οἱ πάντοτε εἰς ἀντίῤῥησιν
but object the Jews the(-ones) always for contradiction
ἕτοιμοι, καὶ ὀκνηροὶ πρὸς πίστιν· ὡς διὰ τοῦτο λέγειν
ready and slow toward faith so-that because-of this to-say
νῦν τὸν ἀναγνωσθέντα προφήτην· Κύριε, τίς ἐπίστευσε τῇ
now the read prophet Lord who believed the
ἀκοῇ ἡμῶν; Πέρσαι πιστεύουσι καὶ Ἑβραῖοι οὐ πιστεύουσιν·
report our Persians believe and Hebrews not believe
ὄψονται, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ· καὶ οἳ οὐκ
they-will-see to-whom not it-was-announced about him and who not
ἀκηκόασι. συνήσουσι, καὶ οἱ μελετῶντες ἀθετήσουσιν ἃ
have-heard will-understand and the(-ones) studying will-set-aside what
μελετῶσιν. Ἀντιφθέγγονται πρὸς ἡμᾶς, καὶ ταῦτα λέγουσι·
they-study they-retort toward us and these-things they-say
Κύριος ἄρα πάσχει; κατίσχυον γὰρ ἀνθρώπιναι χεῖρες
Lord then suffers prevailed for human hands
τῆς κυριότητος; Ἀνάγνωτε τοὺς Θρήνους· θρηνῶν γὰρ
over-the lordship read the Lamentations lamenting for
ὑμᾶς, ἐν Θρήνοις τὰ ἄξια θρήνων ἔγραψεν Ἱερεμίας.
you in Lamentations the(-things) worthy of-laments wrote Jeremiah
Εἶδεν ὑμῶν τὴν ἀπώλειαν· ἐθεώρησε τὴν ἀπόπτωσιν·
he-saw your the destruction he-beheld the falling-away
ἐθρήνει τὴν Ἱερουσαλὴμ τὴν τότε· ἡ νῦν μὲν γὰρ
he-lamented — Jerusalem the(-one) then the(-one) now indeed for
οὐ θρηνηθήσεται. Ἡ μὲν γὰρ ἐσταύρωσεν, ἡ δὲ
not will-be-lamented the(-one) indeed for crucified the(-one) but
νῦν προσκυνεῖ τὸν Χριστόν. Θρηνῶν τοίνυν λέγει· Πνεῦμα
now worships — Christ lamenting therefore he-says breath

προσώπου ἡμῶν Χριστὸς Κύριος, συνελήφθη ἐν ταῖς
of-face our Christ Lord was-taken in the
διαφθοραῖς ἡμῶν. Μὴ τοίνυν ἐγὼ εὑρεσιλογῶ; ἰδοὺ μαρτυρεῖ
corruptions our not therefore I argue-ingeniously behold he-testifies
Χριστὸν Κύριον ὑπὸ ἀνθρώπων συλλαμβανόμενον. Καὶ τί
Christ Lord by men being-taken and what
τὸ ἀπὸ τούτου ἀποβησόμενον; εἰπέ μοι, προφῆτα. Ὁ
the(-thing) from this to-result tell me prophet he
δέ φησιν· Οὗ, εἴπομεν, ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν
and says of-whom we-said in the shadow his we-shall-live among
τοῖς ἔθνεσιν. Οὐκ ἔτι γὰρ ἐν τῷ Ἰσραὴλ, ἀλλ' ἐν τοῖς
the gentiles no longer for in — Israel but among the
ἔθνεσιν ἐμπολιτεύεσθαι τῆς ζωῆς αἰνίσσεται τὴν χάριν.
gentiles to-live-as-citizens of-the life he-hints the grace
Πολλῆς δὲ τῆς ἀντιῤῥήσεως ὑπ' αὐτῶν γενομένης, φέρε, 8
much and of-the contradiction by them having-come-about come
ταῖς ὑμετέραις εὐχαῖς, καθὼς ἂν ἐνδιδῷ τὸ βραχὺ τῆς
by-the your prayers as — permits the short of-the
ὥρας, τῇ τοῦ Κυρίου χάριτι περὶ τοῦ πάθους μαρτυρίας
hour by-the of-the Lord grace about the passion testimonies
ὀλίγας παραθώμεθα. Πάντα γὰρ ἐστι τὰ περὶ Χριστοῦ
few let-us-set-forth all for are the(-things) about Christ
ἔγγραφα· καὶ οὐδὲν ἀμφίβολον· οὐδὲν γὰρ ἀμάρτυρον·
written and nothing doubtful nothing for unwitnessed
πάντα ἐν στήλαις προφητικαῖς ἀναγέγραπται· οὐκ ἐν
all on pillars prophetic are-inscribed not on
πλαξὶ λιθίναις, ἀλλ' ἐκ Πνεύματος ἁγίου γεγραμμένα
tablets of-stone but by Spirit holy written
σαφῶς. Ἐπεὶ οὖν ἤκουσας τοῦ Εὐαγγελίου τὰ περὶ
clearly since then you-heard the Gospel the(-things) about
τοῦ Ἰούδα λέγοντος, ἆρα οὐκ ὀφείλεις δέξασθαι τὴν
— Judas saying — not ought-you to-receive the

μαρτυρίαν; Ἤκουσας, ὅτι ἐνύγη λόγχῃ τὴν πλευράν·
testimony you-heard that he-was-pierced with-a-spear the side
οὐκ ὀφείλεις ἰδεῖν εἰ καὶ τοῦτο γέγραπται; Ἤκουσας,
not ought-you to-see if also this is-written you-heard
ὅτι ἐν κήπῳ ἐσταυρώθη· οὐκ ὀφείλεις ἰδεῖν εἰ καὶ τοῦτο
that in a-garden he-was-crucified not ought-you to-see if also this
γέγραπται; Ἤκουσας, ὅτι τριάκοντα ἀργυρίοις ἐπράθη· οὐκ
is-written you-heard that for-thirty pieces-of-silver he-was-sold not
ὀφείλεις μαθεῖν τὸν εἰπόντα τοῦτο προφήτην; Ἤκουσας,
ought-you to-learn the having-said this prophet you-heard
ὅτι ἐποτίσθη ὄξος· μάθε καὶ τοῦτο ποῦ γέγραπται.
that he-was-given-to-drink vinegar learn also this where it-is-written
Ἤκουσας, ὅτι ἐν πέτρᾳ ἀπετέθη τὸ σῶμα, καὶ λίθος
you-heard that in a-rock was-laid the body and a-stone
ἐπετέθη· οὐκ ὀφείλεις λαβεῖν καὶ ταύτην ἐκ τοῦ προφήτου
was-laid-on not ought-you to-take also this from the prophet
τὴν μαρτυρίαν; Ἤκουσας, ὅτι λησταῖς συνεσταυρώθη· οὐκ
the testimony you-heard that with-robbers he-was-crucified-with not
ὀφείλεις ἰδεῖν εἰ καὶ τοῦτο γέγραπται; Ἤκουσας, ὅτι
ought-you to-see if also this is-written you-heard that
ἐτάφη· οὐκ ὀφείλεις ἰδεῖν εἰ ἀσφαλῶς που τὰ περὶ
he-was-buried not ought-you to-see if securely somewhere the(-things) about
ταφῆς ἀναγέγραπται; Ἤκουσας, ὅτι ἀνέστη· οὐκ ὀφείλεις
burial are-written you-heard that he-rose not ought-you
ἰδεῖν μὴ παίζομέν σε ταῦτα διδάσκοντες; Ὁ γὰρ λόγος
to-see lest we-mock you these-things teaching the for word
ἡμῶν καὶ τὸ κήρυγμα ἡμῶν οὐκ ἐν πειθοῖς ἀνθρωπίνης
our and the preaching our not in persuasive of-human
σοφίας λόγοις. Οὐ σοφιστικαὶ κατασκευαὶ κινοῦνται νῦν,
wisdom words not sophistical constructions are-set-in-motion now
ἐπεὶ διαλύονται· οὐ λόγους νικῶσιν, ἐπεὶ παραλύονται·
since they-are-dissolved not words they-conquer since they-are-undone

ἀλλὰ κηρύσσομεν χριστὸν ἐσταυρωμένον, ἐκ προφητῶν
but we-preach Christ crucified by prophets
ἤδη τούτου προκηρυχθέντος. Σὺ δὲ μοι δεξάμενος τὰς
already this(-one) proclaimed-beforehand you and to-me having-received the
μαρτυρίας, ἐνσφράγισαι τῇ καρδίᾳ ταύτας. Πολλῶν δὲ
testimonies seal-in in-the heart them many and
οὐσῶν, καὶ τοῦ χρόνου λοιπὸν τῆς ὥρας εἰς ὀλίγον
being and of-the time henceforth of-the hour into little
περιγραφομένου, ὀλίγας, ὡς ἐγχωρεῖ, τὰς κυριωτέρας
being-circumscribed few as it-is-possible the more-principal
ἄκουσον νῦν. Λαβὼν δὲ τὰς ἀφορμὰς, γενοῦ φιλόπονος,
hear now having-taken and the starting-points become industrious
καὶ ἐκζήτησον τὰς λειπούσας. Μὴ γὰρ ἔστω σοι ἡ χεὶρ
and seek-out the(-ones) lacking not for let-be to-you the hand
μόνον ἐκτεταμένη εἰς τὸ λαβεῖν, ἀλλὰ καὶ εἰς τὸ ἐργάζεσθαι
only stretched-out for the to-take but also for the to-work
ἕτοιμος. Πάντα Θεὸς χαρίζεται. Εἰ γὰρ τις ὑμῶν λείπεται
ready all-things God grants if for any of-you lacks
σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ, καὶ λήψεται.
wisdom let-him-ask from the giving God and he-will-receive
Ὃς ταῖς ὑμετέραις εὐχαῖς, καὶ ἡμῖν παράσχοιτο τοῖς
who by-the your prayers also to-us may-be-grant to-the(-ones)
λέγουσι τὸ εἰπεῖν, καὶ ὑμῖν τοῖς ἀκούουσι τὸ πιστεῦσαι.
speaking the to-speak and to-you the(-ones) hearing the to-believe
Ζητείσθωσαν τοίνυν ἡμῖν αἱ περὶ τοῦ πάθους τοῦ Χριστοῦ 9
let-be-sought therefore by-us the about the passion — of-Christ
μαρτυρίαι· συνεληλύθαμεν γὰρ οὐ Γραφῶν ἐξήγησιν
testimonies we-have-come-together for not of-Scriptures exposition
θεωρητικὴν ποιήσασθαι νῦν, ἀλλὰ πιστοποιηθῆναι μᾶλλον
contemplative to-make now but to-be-assured rather
περὶ ὧν πεπιστεύκαμεν. Τῆς μὲν οὖν παρουσίας Ἰησοῦ
about what we-have-believed of-the indeed then coming of-Jesus

πρῶτον ἐδέξω τὰς μαρτυρίας· καὶ ὅτι ἐπὶ θαλάσσης
first you-received the testimonies and that on sea
περιεπάτησεν, (Ἐν γὰρ θαλάσσῃ ἡ ὁδός σου,) γέγραπται,
he-walked (in for sea the way your) it-is-written
[Περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπ᾽ ἐδάφους,] καὶ περὶ
[*walking on sea as on ground*] *and about*
διαφόρων ἰάσεων μαρτυρίαν ἔλαβες ἄλλοτε. Ἄρχομαι
various healings testimony you-received at-another-time I-begin
τοίνυν ὅθεν τὸ πάθος ἤρξατο. Ἰούδας ἦν ὁ προδότης,
therefore whence the passion began Judas was the betrayer
καὶ ἐλθὼν ἐξ ἐναντίας καὶ στὰς, εἰρηνικὰ λέγων
and having-come from opposite and having-stood peaceable-things saying
καὶ πολεμικὰ κατασκευάζων. Λέγει οὖν περὶ τούτου ὁ
and warlike-things contriving says then about him the
Ψαλμῳδός· Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας
Psalmist the friends my and the(-ones) near my from opposite
μου ἤγγισαν καὶ ἔστησαν· καὶ πάλιν· Ἠπαλύνθησαν οἱ λόγοι
me drew-near and stood and again were-softened the words
αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες. Χαῖρε, Ῥαββί· καὶ
their above oil and they are darts hail Rabbi and
παρεδίδου τὸν διδάσκαλον εἰς θάνατον. Οὐκ ἠδέσθη τοῦ
he-handed-over the teacher to death not he-respected the(-one)
λέγοντος τὴν ὑπόμνησιν· Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ
saying the reminder Judas with-a-kiss the Son of-the
ἀνθρώπου παραδίδως; σχεδὸν γὰρ τοῦτο πρὸς αὐτὸν ἔλεγεν·
man you-hand-over almost for this to him he-said
Ὑπομνήσθητι τῆς σεαυτοῦ προσηγορίας. Ἰούδας καλεῖται
remember of-the your-own name Judas is-called
ἐξομολόγησις· συνέθου, ἔλαβες τὸ ἀργύριον, ἐξομολόγησαι
confession you-agreed you-took the silver confess
ταχέως· Ὁ Θεὸς, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι
quickly — God the praise my not pass-over-in-silence for

στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη·
mouth of-sinner and mouth of-deceitful against me was-opened
ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολία, καὶ λόγοις μίσους
they-spoke against me with-tongue deceitful and with-words of-hatred
ἐκύκλωσάν με. Ὅτι δὲ τινες καὶ ἀπὸ ἀρχιερέων παρῆσαν,
they-surrounded me that and some also from chief-priests were-present
καὶ ὅτι πρὸ τῶν πυλῶν τῆς πόλεως ἦν τὰ δεσμὰ, ἤκουσας
and that before the gates of-the city were the bonds you-heard
πρώην· εἴ γε μνημονεύεις τῆς ἐξηγήσεως τὸν καιρὸν καὶ
lately if indeed you-remember of-the exposition the time and
τὸν τόπον τοῦ ψαλμοῦ εἰρηκότος, ὅπως Ἐπέστρεψαν εἰς
the place of-the psalm having-said how they-returned at
ἑσπέραν, καὶ ἐλίμωξαν ὡς κύνες, καὶ ἐκύκλωσαν πόλιν.
evening and were-famished as dogs and surrounded city
Ἄκουε καὶ διὰ τὰ τριάκοντα ἀργύρια. Καὶ ἐρῶ πρὸς 10
hear also about the thirty pieces-of-silver and I-will-say to
αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστὶ, δότε τὸν μισθόν
them if good before you it-is give the wage
μου, ἢ ἀπείπασθε, καὶ τὰ ἑξῆς. Ἄλλος μισθός μοι παρ᾽
my or refuse and the next another wage to-me from
ὑμῶν χρεωστεῖται θεραπείας τυφλῶν καὶ χωλῶν, καὶ
you is-owed of-healing of-blind and of-lame and
ἄλλον λαμβάνω· ἀντὶ μὲν εὐχαριστίας ἀτιμίαν, ἀντὶ
another I-receive instead-of indeed thanksgiving dishonor instead-of
δὲ προσκυνήσεως ὕβριν. Βλέπεις πῶς προεῖδεν ἡ Γραφὴ
and worship outrage you-see how foresaw the Scripture
τὰ πράγματα; Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα
the things and they-weighed the wage my thirty
ἀργυροῦς. Ὦ προφητικῆς ἀκριβείας! ὦ πολλῆς συνέσεως
pieces-of-silver O prophetic exactness O much understanding
ἀπλανοῦς Πνεύματος ἁγίου! Οὐ γὰρ δέκα εἶπεν, οὐδὲ
unerring of-Spirit holy not for ten he-said nor

εἴκοσιν· ἀλλὰ τριάκοντα, ἀκριβῶς καὶ ὅσα ἦν. Εἰπὲ καὶ
twenty but thirty exactly also as-many-as were tell also
ποῦ προχωρεῖ τοῦτο τὸ τίμημα, ὦ προφῆτα· ἄρα ὁ
where goes this the price O prophet — the(-one)
λαμβάνων κατέχει, ἢ ἀποδίδωσι; καὶ μετὰ τὸ ἀποδοῦναι,
receiving holds or gives-back and after the to-give-back
ποῦ προχωρεῖ; Λέγει τοίνυν ὁ προφήτης· Καὶ ἔλαβον τοὺς
where does-it-go says therefore the prophet and I-took the
τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον
thirty pieces-of-silver and cast them into the house
Κυρίου εἰς τὸ χωνευτήριον. Σύγκρινον τῇ προφητείᾳ
of-Lord into the foundry compare with-the prophecy
τὸ Εὐαγγέλιον· Μεταμεληθεὶς γάρ, φησὶν, Ἰούδας, καὶ
the Gospel having-repented for he-says Judas and
ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησεν.
having-thrown the pieces-of-silver in the temple departed

11 Ἀλλ' ὧδέ μοι λοιπὸν τῆς δοκούσης ἀμφιβολίας ἡ ἀκρίβεια
but here to-me henceforth of-the seeming doubt the exactness
ζητεῖται. Οἱ γὰρ ἀθετοῦντες τοὺς προφήτας λέγουσιν,
is-sought the(-ones) for setting-aside the prophets say
ὅτι ὁ μὲν προφήτης λέγει. Καὶ ἐνέβαλον αὐτοὺς εἰς
that the indeed prophet says and I-cast them into
τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον· τὸ δὲ Εὐαγγέλιον·
the house of-Lord into the foundry the but Gospel
Καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως. Πῶς
and they-gave them for the field of-the potter how
οἱ δύο τοίνυν ἀληθεύουσιν, ἄκουσον. Οἱ γὰρ δῆθεν
the two therefore speak-truly hear the for supposedly
εὐλαβεῖς Ἰουδαῖοι, οἱ τότε ἀρχιερεῖς, ἰδόντες τὸν Ἰούδαν
pious Jews the then chief-priests having-seen — Judas
μετανοήσαντα καὶ εἰπόντα, Ἥμαρτον παραδοὺς αἷμα
having-repented and having-said I-sinned having-handed-over blood

ἀθῷον, φασί· Τί πρὸς ἡμᾶς; σὺ ὄψῃ. Ἆρα οὐδὲν πρὸς
innocent say what to us you will-see — nothing to
ὑμᾶς τοὺς σταυροῦντας; ἀλλ᾽ ὁ μὲν τοῦ φόνου τὸν
you the(-ones) crucifying but the(-one) indeed of-the murder the
μισθὸν λαβὼν καὶ ἀποδοὺς ὄψεται, ὑμεῖς δὲ οἱ
wage having-taken and having-given-back will-see you but the(-ones)
φονεύοντες οὐκ ὄψεσθε; Εἶτά φασι πρὸς ἑαυτούς· Οὐκ
murdering not will-see then they-say to themselves not
ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβωνᾶν, ἐπεὶ τιμὴ αἵματός
it-is-lawful to-put them into the treasury since price of-blood
ἐστιν. Ἐκ τοῦ στόματος ὑμῶν ἡ κατάκρισις· εἰ μιαρὸς
it-is from the mouth your the condemnation if foul
ὁ μισθὸς, μιαρὰ καὶ ἡ πρᾶξις· εἰ δὲ δικαιοσύνην πληροῖς
the wage foul also the deed if but righteousness you-fulfill
σταυρῶν τὸν Χριστὸν, τί οὐ παραδέχῃ τὸν μισθόν;
crucifying — Christ why not do-you-accept the wage
Ἀλλὰ τὸ ζητούμενον τοῦτό ἐστι· Πῶς οὐ διαφωνοῦσι,
but the(-thing) sought this is how not do-they-disagree
τὸ μὲν Εὐαγγέλιον λέγον, ἀγρὸν τοῦ κεραμέως· ὁ δὲ
the indeed Gospel saying field of-the potter the but
προφήτης, τὸ χωνευτήριον; Ἀλλ᾽ οὐ μόνον χρυσοχόων
prophet the foundry but not only of-goldsmiths
παῖδες ἔχουσι χωνευτήριον, οὐδὲ χαλκουργοὶ μόνον ἔχουσι
children have foundry nor coppersmiths only have
χωνευτήριον· ἀλλὰ καὶ κεραμεῖς ἔχουσι πηλοῦ χωνευτήρια.
foundry but also potters have of-clay foundries
Τὸ γὰρ λεπτὸν καὶ λιπαρὸν καὶ χρήσιμον τῆς γῆς ἐκ τῶν
the for fine and rich and useful of-the earth from the
χαλίκων ἀποδιυλίζοντες, καὶ τὸ πολὺ τῆς συμφετώδους
pebbles straining-off and the bulk of-the rubbishy
ὕλης ἀποχωρίζοντες προχωνεύουσιν ὕδατι τὸν πηλὸν, εἰς
matter separating they-cast-first with-water the clay for

ἀνεμπόδιστον ἐργασίαν τῶν κατασκευασθησομένων. Τί
unhindered working of-the(-things) to-be-made why
τοίνυν θαυμάζεις, εἰ τὸ μὲν Εὐαγγέλιον φανερῶς τὸν ἀγρὸν
therefore do-you-marvel if the indeed Gospel openly the field
τοῦ κεραμέως, ὁ δὲ προφήτης αἰνιγματωδῶς εἶπε τὴν
of-the potter the but prophet in-riddles spoke the
προφητείαν, αἰνιγματωδῶς οὖσης πολλαχοῦ τῆς προφητείας.
prophecy riddling being in-many-places of-the prophecy
12 Ἔδησαν τὸν Ἰησοῦν, καὶ εἰσήνεγκαν εἰς τὴν αὐλὴν τοῦ
they-bound — Jesus and brought-in into the court of-the
ἀρχιερέως. Θέλεις δὲ γνῶναι καὶ εἰδέναι, ὅτι καὶ τοῦτο
high-priest do-you-wish and to-learn and to-know that also this
γέγραπται; Φησὶν Ἡσαίας· Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι
is-written says Isaiah woe to-the soul their because
βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες·
they-have-counseled counsel evil against themselves having-said
Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. Καὶ
let-us-bind the just because troublesome to-us he-is and
ἀληθῶς, Οὐαὶ τῇ ψυχῇ αὐτῶν· καὶ βλέπωμεν. Ἡσαΐας
truly woe to-the soul their and let-us-see Isaiah
μὲν ἐπρίσθη, καὶ ἐθεραπεύθη μετὰ ταῦτα ὁ λαός.
indeed was-sawn-asunder and was-healed after these-things the people
Ἱερεμίας εἰς βόρβορον λάκκου ἐνεβλήθη, ἀλλ' ἰάθη
Jeremiah into mire of-pit was-cast but was-healed
τῶν Ἰουδαίων τὸ τραῦμα· μικρότερον γὰρ ἦν, ἐπειδὴ
of-the Jews the wound smaller for it-was since
εἰς ἄνθρωπον. Ἐπειδὴ δὲ οὐκ εἰς ἄνθρωπον, ἀλλ'
against a-man since but not against a-man but
εἰς Θεὸν ἐνανθρωπήσαντα ἥμαρτον Ἰουδαῖοι, Οὐαὶ τῇ
against God become-man sinned Jews woe to-the
ψυχῇ αὐτῶν. — Δήσωμεν τὸν δίκαιον. Ἆρα οὐκ ἐδύνατο
soul their let-us-bind the just — not could

λῦσαι ἑαυτὸν, ἐρεῖ τις, ὁ λύσας ἐκ δεσμῶν
to-loose himself will-say someone the(-one) having-loosed from bonds
θανάτου τετραήμερον Λάζαρον, καὶ Πέτρον ἐκ δεσμῶν
of-death four-days-dead Lazarus and Peter from bonds
σιδηρέων φυλακῆς λύσας; Ἕτοιμοι παρειστήκεισαν
iron of-prison having-loosed ready stood-by
ἄγγελοι λέγοντες· Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν· ἀλλὰ
angels saying let-us-burst the bonds their but
ἀνέχονται, διὰ τὸ θέλειν ὑπομεῖναι τοῦτο τὸν Δεσπότην.
they-hold-back because-of the to-will to-endure this the Master
Πάλιν ἤχθη ἐπὶ πρεσβυτέρων εἰς κριτήριον. Ἔχεις ἤδη
again he-was-led before elders to tribunal you-have already
τὴν μαρτυρίαν· Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν
the testimony himself Lord into judgment will-come with the
πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ.
elders of-the people and with the rulers his
Ἀλλὰ ἐρωτήσας ὁ ἀρχιερεὺς, καὶ ἀκούσας τὴν ἀλήθειαν, 13
but having-asked the high-priest and having-heard the truth
ἀγανακτεῖ. Καὶ ὁ κακὸς κακῶν ὑπηρέτης δίδωσι ῥάπισμα·
is-indignant and the evil of-evils servant gives a-slap
καὶ τὸ πρόσωπον, τὸ λάμψαν ὡς ὁ ἥλιος, χερσὶν
and the face the(-face) having-shone as the sun by-hands
ἀνόμοις ῥαπιζόμενον ἠνέσχετο. Καὶ ἄλλοι ἐλθόντες
lawless being-slapped endured and others having-come
ἐμπτύουσι τῷ προσώπῳ, τοῦ διὰ πτυελοῦ τὸν ἐκ
spit-on the face of-the(-one) through spittle the from
γενετῆς τυφλὸν θεραπεύσαντος. Ταῦτα Κυρίῳ ἀνταποδίδοτε;
birth blind having-healed these-things to-Lord do-you-repay
Οὗτος λαὸς μωρὸς, καὶ οὐχὶ σοφός. Καὶ ὁ προφήτης
this people foolish and not wise and the prophet
ἀποθαυμάζων φησί· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;
marveling says Lord who believed the report our

ἄπιστον γὰρ τὸ πρᾶγμα, εἰ Θεὸς, Θεοῦ Υἱὸς, καὶ βραχίων
incredible for the thing if God of-God Son and arm
Κυρίου, ταῦτα ὑπομένει. Ἀλλ' ἵνα μὴ ἀπιστήσωσιν οἱ
of-Lord these-things endures but that not may-disbelieve the(-ones)
σωζόμενοι, προγράφει τὸ Πνεῦμα τὸ ἅγιον ἐκ προσώπου
being-saved writes-beforehand the Spirit the holy from the-person
Χριστοῦ, λέγοντος (αὐτὸς γὰρ ὁ τότε ταῦτα λαλῶν,
of-Christ saying (he for the(-one) then these-things speaking
ὕστερον παρῆν)· Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας·
later was-present) the back my I-have-given to scourges
Πιλᾶτος γὰρ αὐτὸν φραγελλώσας παρέδωκεν εἰς τὸ
Pilate for him having-scourged handed-over to the
σταυρωθῆναι· τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ
to-be-crucified the and cheeks my to slaps the and
πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων·
face my not I-turned-away from shame of-spittings
μονονουχὶ λέγων· Προειδὼς, ὅτι μέλλουσι τύπτειν, οὐδὲ
all-but saying foreknowing that they-are-about to-strike not-even
ἐπλαγίασα τὴν σιαγόνα μου. Πῶς γὰρ ἔμελλον νευροῦν
did-I-turn-aside the cheek my how for was-I-to to-nerve
τοὺς μαθητὰς εἰς τὸν ὑπὲρ ἀληθείας θάνατον, εἰ αὐτὸς
the disciples for the on-behalf-of truth death if I-myself
ἠγωνίων τοῦτο; Ἐγὼ ἔλεγον· Ὁ φιλῶν τὴν ψυχὴν
was-in-agony-over this I said the(-one) loving the soul
αὐτοῦ, ἀπολέσει αὐτήν· εἰ ἐφιλοζώησα, πῶς ἐδίδασκον,
his will-lose it if I-had-loved-life how was-I-teaching
μὴ πράττων ὃ ἐδίδασκον; Πρῶτον οὖν, αὐτὸς Θεὸς ὢν
not doing what I-was-teaching first then he God being
ὑπὸ ἀνθρώπων ταῦτα πάσχων ἠνείχετο, ἵνα ἄνθρωποι
by men these-things suffering endured that men
ὑπὸ ἀνθρώπων μετὰ ταῦτα δι' αὐτὸν τοιαῦτα
by men after these-things because-of him such-things

πάσχοντες μὴ αἰσχυνθῶμεν. Βλέπεις, ὅτι καὶ ταῦτα
suffering not we-may-be-ashamed you-see that also these-things
σαφῶς προέγραψαν οἱ προφῆται. Πολλὰς δὲ τῶν Γραφῶν
clearly wrote-beforehand the prophets many and of-the Scriptures
μαρτυρίας διὰ τὸ τοῦ χρόνου στενὸν παρατρέχομεν,
testimonies because-of the of-the time narrowness we-pass-by
ὡς προεῖπον. Εἰ γὰρ πάντα ζητήσειέ τις ἀκριβῶς, οὐδὲν
as I-said-before if for all-things should-seek anyone exactly nothing
τῶν τοῦ Χριστοῦ πραγμάτων ἀμάρτυρον καταλειφθήσεται.
of-the — of-Christ affairs unwitnessed will-be-left
Δεθεὶς ἦλθεν ἀπὸ τοῦ Καϊάφα πρὸς Πιλᾶτον. Ἆρα καὶ τοῦτο 14
bound he-came from — Caiaphas to Pilate — also this
γέγραπται; Καὶ δήσαντες αὐτὸν ἀπήγαγον ξένια τῷ βασιλεῖ
is-written and having-bound him they-led-away gifts to-the king
Ἰαρείμ. Ἀλλ᾽ ὑποκρούει τις τῶν ὀξέως ἀκροωμένων·
Jareim but objects someone of-the(-ones) sharply listening
Πιλᾶτος οὐκ ἦν βασιλεύς· (ἵνα τέως παραλίπωμεν τὰ
Pilate not was king (that meanwhile we-may-pass-over the
πολλὰ τοῦ ζητήματος)· πῶς τοίνυν δήσαντες αὐτὸν,
many-things of-the question) how therefore having-bound him
ἀπήγαγον ξένια τῷ βασιλεῖ; Ἀλλὰ ἀνάγνωθι τὸ
did-they-lead-away gifts to-the king but read the
Εὐαγγέλιον· Ἀκούσας Πιλᾶτος αὐτὸν εἶναι ἀπὸ τῆς
Gospel having-heard Pilate him to-be from —
Γαλιλαίας, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην· Ἡρώδης δὲ ἦν
Galilee sent-up him to Herod Herod and was
τότε βασιλεὺς, καὶ παρῆν ἐν Ἱεροσολύμοις. Καὶ βλέπε τοῦ
then king and was-present in Jerusalem and see of-the
προφήτου τὴν ἀκρίβειαν· ξένια γάρ φησιν αὐτὸν ἀπεστάλθαι·
prophet the exactness gifts for he-says him to-have-been-sent
Ἐγένοντο γὰρ φίλοι ὅ τε Πιλᾶτος καὶ ὁ Ἡρώδης ἐν αὐτῇ
became for friends — both Pilate and — Herod in very

τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες.
the day with one-another were-before for in enmity being
Ἔπρεπε γὰρ τῷ μέλλοντι εἰρηνοποιεῖν τὴν γῆν
it-was-fitting for to-the(-one) about to-make-peace-between the earth
καὶ τὸν οὐρανόν, πρώτους αὐτοὺς τοὺς καταδικάζοντας
and the heaven first them the(-ones) condemning
αὐτὸν εἰρηνοποιῆσαι· καὶ γὰρ παρῆν ὁ Κύριος αὐτὸς,
him to-make-peace and for was-present the Lord himself
ὁ διαλλάσσων καρδίας ἀρχόντων τῆς γῆς. Ἔχε τῶν
the(-one) reconciling hearts of-rulers of-the earth have of-the
προφητῶν τὴν ἀκρίβειαν, καὶ ἀληθῆ μαρτυρίαν.
prophets the exactness and true testimony
15 Θαύμασον τὸν κρινόμενον Κύριον· ἠνέσχετο ὑπὸ στρατιωτῶν
marvel-at the being-judged Lord he-endured by soldiers
ἀγόμενος καὶ φερόμενος· Πιλᾶτος ἐκαθέζετο κρίνων, καὶ
being-led and being-carried Pilate sat judging and
ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθεζόμενος, ἑστὼς ἐκρίνετο.
the(-one) at right-hand of-the Father sitting standing was-judged
Ὁ λαὸς ὁ λυτρωθεὶς ὑπ᾽ αὐτοῦ ἐκ γῆς Αἰγύπτου
the people the(-one) redeemed by him from land of-Egypt
καὶ ἀλλαχόθεν πολλάκις, κατ᾽ αὐτοῦ ἐβόα· Ἆρε, ἆρε,
and elsewhere often against him shouted away away
σταύρωσον αὐτόν. Διὰ τί, ὦ Ἰουδαῖοι; ὅτι τοὺς τυφλοὺς
crucify him for what O Jews because the blind
ὑμῶν ἐθεράπευσεν; ἀλλ᾽ ὅτι τοὺς χωλοὺς ὑμῶν περιπατεῖν
your he-healed but because the lame your to-walk
ἐποίησε, καὶ τὰ λοιπὰ τῶν εὐεργεσιῶν παρέσχεν; ὡς
he-made and the rest of-the benefits he-provided so-that
ἐκπλησσόμενον τὸν προφήτην καὶ περὶ τούτου λέγειν· Ἐπὶ
being-amazed the prophet also about this to-say against
τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν, καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν
whom did-you-open the mouth your and against whom did-you-loose the

γλῶσσαν ὑμῶν; καὶ αὐτὸν τὸν Κύριον ἐν προφήταις λέγειν·
tongue your and him the Lord in prophets to-say
Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ, ὡς λέων ἐν δρυμῷ· ἔδωκεν
became the inheritance my to-me as lion in thicket it-gave
ἐπ᾽ ἐμὲ τὴν φωνὴν αὐτῆς· διὰ τοῦτο ἐμίσησα αὐτήν.
against me the voice its because-of this I-hated it
Οὐκ ἐγὼ παρητησάμην, ἀλλ᾽ αὐτοί με παρητήσαντο· διὰ
not I refused but they me refused because-of
τοῦτο ἀκολούθως λέγω· Ἐγκαταλέλοιπα τὸν οἰκόν μου.
this in-sequence I-say I-have-forsaken the house my
Κρινόμενος ἐσιώπα ὡς ὑπερπάσχειν τὸν Πιλᾶτον, 16
being-judged he-was-silent so-that to-be-greatly-distressed — Pilate
καὶ λέγειν· Οὐκ ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσιν;
and to-say not do-you-hear what these you testify-against
οὐχ ὅτι ἤδει τὸν κρινόμενον, ἀλλ᾽ ἐφοβήθη τὸ τῆς
not that he-knew the(-one) being-judged but he-feared the of-the
ἑαυτοῦ γυναικὸς ἐνύπνιον τὸ ἀποσταλέν. Καὶ ὁ Ἰησοῦς
his-own wife dream the(-one) sent and — Jesus
ἐσιώπα. Λέγει ὁ Ψαλμῳδός· Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος
was-silent says the Psalmist and I-became as man
οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς·
not hearing and not having in the mouth his reproofs
καὶ πάλιν· Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ
and again I but as deaf not heard and as
ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Ἤκουσας τὰ
speechless not opening the mouth his you-heard the(-things)
περὶ τούτου καὶ πρότερον, εἴ γε μνημονεύεις.
about this also before if indeed you-remember
Ἀλλ᾽ οἱ στρατιῶται περιχυθέντες αὐτῷ καταπαίζουσι· καὶ 17
but the soldiers having-poured-round him mock and
γίνεται παίγνιον αὐτοῖς ὁ Κύριος, καὶ καταπαίζεται ὁ
becomes plaything to-them the Lord and is-mocked the

Δεσπότης· Εἴδοσάν με, καὶ ἐσάλευσαν κεφαλὰς αὐτῶν.
Master they-saw me and shook heads their
Καὶ ὁ τύπος γίνεται τῆς βασιλείας· καταπαίζουσι μὲν
and the type becomes of-the kingship they-mock indeed
γὰρ, γονυπετοῦσι δέ. Καὶ σταυροῦσι προενδύσαντες αὐτὸν
for they-kneel and and crucify having-first-clothed him
πορφύραν στρατιῶται, καὶ στέφανον ἐπιτιθέασιν αὐτοῦ τῇ
in-purple soldiers and a-crown put-on his the
κεφαλῇ· τί γὰρ, εἰ καὶ ἀκάνθινον; Πᾶς βασιλεὺς ὑπὸ
head what for if even of-thorns every king by
στρατιωτῶν ἀναγορεύεται· ἔδει καὶ Ἰησοῦν τυπικῶς ὑπὸ
soldiers is-proclaimed it-was-needful also Jesus typically by
στρατιωτῶν στεφανωθῆναι· ὡς διὰ τοῦτο τὴν Γραφὴν ἐν
soldiers to-be-crowned so-that because-of this the Scripture in
Ἄσμασι λέγειν· Ἐξέλθετε, καὶ ἴδετε, θυγατέρες Ἱερουσαλὴμ;
Songs to-say go-forth and see daughters of-Jerusalem
ἐν τῷ βασιλεῖ Σολομὼν ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν
at the king Solomon in the crown with-which crowned
αὐτὸν ἡ μήτηρ αὐτοῦ. Μυστήριον δὲ ἦν καὶ ὁ στέφανος·
him the mother his mystery and was also the crown
λύσις γὰρ ἦν τῶν ἁμαρτιῶν, ἀπόλυσις τῆς ἀποφάσεως.
loosing for it-was of-the sins release of-the sentence
18 Ἔλαβε καταδίκην ὁ Ἀδάμ· Ἐπικατάρατος ἡ γῆ ἐν
received condemnation — Adam accursed the earth in
τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι.
the works your thorns and thistles it-will-bring-forth to-you
Διὰ τοῦτο Ἰησοῦς λαμβάνει τὰς ἀκάνθας, ἵνα λύσῃ
because-of this Jesus takes the thorns that he-may-loose
τὴν καταδίκην· καὶ διὰ τοῦτο ἐτάφη ἐν τῇ γῇ,
the condemnation and because-of this he-was-buried in the earth
ἵνα ἡ κατηραμένη γῆ ἀντὶ κατάρας δέξηται τὴν
that the cursed earth instead-of curse may-receive the

εὐλογίαν. Κατὰ τὸν καιρὸν τῆς ἁμαρτίας, συκῆς φύλλα
blessing at the time of-the sin of-fig leaves
περιεβάλλοντο· διὰ τοῦτο καὶ Ἰησοῦς τέλος σημείων
they-clothed-themselves because-of this also Jesus end of-signs
τὴν συκῆν ἔδωκε. Μέλλων γὰρ εἰς τὸ πάθος χωρεῖν,
the fig-tree made being-about for to the passion to-go
καταρᾶται τὴν συκῆν· οὐ πᾶσαν συκῆν, ἀλλ᾽ ἐκείνην
he-curses the fig-tree not every fig-tree but that
μόνην διὰ τὸν τύπον, λέγων· Μηκέτι ἐκ σοῦ καρπόν
alone because-of the type saying no-longer from you fruit
τις φάγῃ· λελύσθω ἡ καταδίκη. Καὶ ἐπειδὴ τότε συκῆς
anyone may-eat let-be-loosed the condemnation and since then of-fig
φύλλα περιεβάλλοντο, ἦλθεν ἐν καιρῷ ἐν ᾧ βρῶσις οὐχ
leaves they-clothed-themselves he-came at time in which food not
εὑρίσκεται. Τίς οὐκ οἶδεν, ὅτι ἐν καιρῷ χειμῶνος συκῆ οὐ
is-found who not knows that in time of-winter fig-tree not
καρποφορεῖ, ἀλλὰ φύλλα περίκειται μόνον; Ὅπερ πάντες
bears-fruit but leaves wears only what all
ἤδεισαν, τοῦτο Ἰησοῦς ἆρα οὐκ ἤδει; ἀλλ᾽ εἰδὼς, ἤρχετο
knew this Jesus — not knew but knowing he-came
ὡς ζητήσων· οὐκ ἀγνοῶν, ὅτι οὐχ εὑρίσκει· ἀλλὰ τὸν
as about-to-seek not not-knowing that not he-finds but the
τύπον τῆς κατάρας μέχρι τῶν φύλλων μόνον ποιούμενος.
type of-the curse up-to the leaves only making
Καὶ ἐπειδὴ τῶν κατὰ παράδεισον ἡψάμεθα πραγμάτων. 19
and since the in paradise we-have-touched affairs
τεθαύμακα ἀληθῶς τὴν ἀλήθειαν τῶν τύπων. Ἐν
I-have-marveled-at truly the truth of-the types in
παραδείσῳ ἡ ἀπόπτωσις, καὶ ἐν κήπῳ ἡ σωτηρία· ἀπὸ
paradise the falling-away and in a-garden the salvation from
ξύλου ἡ ἁμαρτία, καὶ μέχρι ξύλου ἡ ἁμαρτία· δειλινὸν
tree the sin and up-to tree the sin in-the-evening

τοῦ Κυρίου περιπατοῦντος ἐκρύβησαν, καὶ δειλινὸν ὑπὸ
the Lord walking they-bid and in-the-evening by
τοῦ Κυρίου εἰς παράδεισον ὁ ληστὴς εἰσάγεται. Ἀλλ᾽
the Lord into paradise the robber is-brought-in but
ἐρεῖ μοί τις. Εὑρεσιλογεῖς· δεῖξόν μοι ἀπὸ προφήτου
will-say to-me someone you-argue-ingeniously show me from prophet
τοῦ σταυροῦ τὸ ξύλον· ἐὰν μὴ μαρτυρίαν ἀπὸ προφήτου
of-the cross the wood if not testimony from prophet
παράσχῃς, οὐ πείθομαι. Ἄκουε τοίνυν ἀπὸ Ἱερεμίου, καὶ
you-provide not I-am-persuaded hear therefore from Jeremiah and
πιστοποιοῦ· Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι·
be-assured I as lamb innocent being-led the to-be-sacrificed
οὐκ ἔγνων; (Οὕτω γὰρ ἀνάγνωθι ἐπερωτηματικῶς ὡς
not did-I-know (thus for read as-a-question as
εἶπον. Ὁ γὰρ λέγων, Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ
I-said the(-one) for saying you-know that after two days the
πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς
passover comes and the Son of-the man is-handed-over to
τὸ σταυρωθῆναι· ἆρ᾽ οὐκ ἤδει;) Ἐγὼ ὡς ἀρνίον ἄκακον
the to-be-crucified — not did-he-know) I as lamb innocent
ἀγόμενον τοῦ θύεσθαι· οὐκ ἔγνων; (ποῖον ἀρνίον;
being-led the to-be-sacrificed not did-I-know (what-kind-of lamb
Ἰωάννης ὁ Βαπτιστὴς ἑρμηνευέτω, λέγων· Ἴδε ὁ ἀμνὸς
John the Baptist let-him-interpret saying behold the lamb
τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.) Ἐπ᾽
— of-God the(-one) taking-away the sin of-the world) against
ἐμὲ ἐλογίσαντο πονηρὸν λογισμὸν, λέγοντες· (ὁ τοὺς
me they-devised evil device saying (the(-one) the
λογισμοὺς εἰδὼς, τὸ ἀποβησόμενον ἄρ᾽ οὐκ ἤδει;)
devices knowing the(-thing) to-result — not did-he-know)
καὶ τί ἔλεγον; Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον
and what did-they-say come and let-us-put wood into the bread

αὐτοῦ. Καὶ ἐάν σε ὁ Κύριος καταξιώσῃ, εἰς τὸ ἔμπροσθεν
his and if you the Lord deems-worthy in the future
γνώσῃ, ὅτι τὸ σῶμα αὐτοῦ κατὰ τὸ Εὐαγγέλιον
you-will-know that the body his according-to the Gospel
τύπον ἔφερεν ἄρτου. Δεῦτε τοίνυν, ξύλον ἐμβάλωμεν εἰς
type bore of-bread come therefore wood let-us-put into
τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων·
the bread his and let-us-wipe-out him from land of-living
(ζωὴ οὐκ ἐκτρίβεται, τί κάμνετε μάτην;) καὶ τὸ ὄνομα
(life not is-wiped-out why do-you-toil in-vain) and the name
αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. Ματαία ἡ βουλὴ ὑμῶν·
his not — shall-be-remembered any-more vain the counsel your
πρὸ γὰρ ἡλίου τὸ ὄνομα αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ μένει. Καὶ
before for sun the name his in the Church remains and
ὅτι γε ζωὴ ἦν ἡ ἐπὶ τοῦ ξύλου κρεμασθεῖσα, Μωσῆς
that indeed life was the(-life) on the tree hung Moses
ἀποκλαιόμενός φησι· Καὶ ἔσται ἡ ζωή σου κρεμαμένη
lamenting says and will-be the life your hanging
ἀπέναντι τῶν ὀφθαλμῶν σου, καὶ φοβηθήσῃ ἡμέρας
before the eyes your and you-will-fear day
καὶ νυκτὸς, καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου· καὶ τὸ
and night and not you-will-trust the life your and the(-thing)
ἀναγνωσθὲν ἀρτίως· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;
read just-now Lord who believed the report our
Τοῦτον τὸν τύπον ἐπετέλει Μωσῆς σταυρῶν τὸν ὄφιν· ἵν' 20
this the type fulfilled Moses crucifying the serpent that
ὁ δακνόμενος ὑπὸ τοῦ ζῶντος ὄφεως, καὶ βλέπων τὸν
the(-one) bitten by the living serpent and looking-at the
Χαλκοῦν ὄφιν, σωθῇ πιστεύσας. Εἶτα, χαλκοῦς μὲν ὄφις
Bronze serpent may-be-saved having-believed then bronze indeed serpent
ἐσταυρωμένος σώζει, Υἱὸς δὲ Θεοῦ σαρκωθεὶς ἐσταυρωμένος
crucified saves Son but of-God made-flesh crucified

οὐ σώζει; Πάντοτε διὰ ξύλου ἡ ζωή. Ἐπὶ τοῦ Νῶε
not saves always through wood the life in-the-time-of — Noah
μὲν γὰρ διὰ κιβωτοῦ ξυλίνης ἡ ζωοποίησις· ἡ δὲ θάλασσα
indeed for through ark wooden the life-giving the and sea
ἐπὶ Μωσέως τὸν τύπον τῆς ῥάβδου θεασαμένη, ἐδυσωπήθη
under Moses the type of-the rod having-beheld was-abashed-before
τὸν κρούσαντα. Εἶτα, ἡ Μωσέως ῥάβδος ἰσχύει, καὶ ὁ
the(-one) having-struck then the of-Moses rod prevails and the
τοῦ Σωτῆρος σταυρὸς ἀδυνατεῖ; Παρίημι δὲ τὰ πολλὰ τῶν
of-the Savior cross is-powerless I-pass-over and the many-things of-the
τύπων, συμμετρίας ἕνεκεν. Τὸ ξύλον ἐπὶ Μωσέως ἐγλύκανε
types for-proportion's sake the wood under Moses sweetened
τὸ ὕδωρ, καὶ ἐκ πλευρᾶς Ἰησοῦ τὸ ὕδωρ ἔῤῥευσεν ἐπὶ ξύλου.
the water and from side of-Jesus the water flowed on wood
21 Ἀρχὴ σημείων ἐπὶ Μωσέως αἷμα καὶ ὕδωρ, καὶ τὸ
beginning of-signs under Moses blood and water and the
τελευταῖον πάντων τῶν σημείων Ἰησοῦ τὸ αὐτό. Πρῶτον
last of-all the signs of-Jesus the same first
Μωσῆς τὸν ποταμὸν μετέβαλεν εἰς αἷμα· καὶ ὁ Ἰησοῦς,
Moses the river changed into blood and — Jesus
τὸ τέλος, ὕδωρ ἐξήνεγκεν ἐκ πλευρᾶς μετὰ αἵματος.
at-the end water brought-forth from side with blood
Διὰ τὰς δύο φωνὰς ἴσως, τοῦ τε κρίνοντος, καὶ
because-of the two voices perhaps of-the both judging and
τῶν ἐπιβοώντων· ἢ διὰ τοὺς πιστεύοντας, καὶ
of-the(-ones) shouting-out or because-of the(-ones) believing and
τοὺς ἀπιστοῦντας. Ὁ μὲν Πιλᾶτος ἔλεγεν· Ἀθῷός εἰμι,
the(-ones) disbelieving — indeed Pilate said innocent I-am
καὶ ὕδατι ἀπενίπτετο τὰς χεῖρας· οἱ δὲ ἐπιβοῶντες
and with-water washed-off the hands the(-ones) but shouting-out
ἔλεγον· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς. Ἦν οὖν τὰ δύο ἐκ τῆς
said the blood his on us were then the two from the

πλευρᾶς· τὸ ὕδωρ ἴσως τῷ κρίνοντι, τοῖς δὲ ἐπιβοῶσι
side the water perhaps for-the judging for-the(-ones) and shouting-out
τὸ αἷμα. Καὶ πάλιν ἄλλως νοητέον· Ἰουδαίοις μὲν
the blood and again otherwise it-must-be-understood for-Jews indeed
τὸ αἷμα, Χριστιανοῖς δὲ τὸ ὕδωρ· ἐκείνοις μὲν γὰρ ὡς
the blood for-Christians and the water for-those indeed for as
enemies come therefore to the fifteenth psalm
λέγοντα σαφῶς· Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα·
saying clearly guard me Lord because in you I-hoped
καὶ μετὰ ταῦτα· Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν
and after these-things not — I-will-gather the assemblies their
ἐξ αἱμάτων, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν
from bloods nor not — I-will-remember the names their
διὰ χειλέων μου, ἐπειδὴ ἐμὲ παραιτησάμενοι, βασιλέα
through lips my since me having-refused king
ἑαυτῶν ἐπέγραψαν τὸν Καίσαρα· καὶ τὰ ἑξῆς· Προωρώμην
their-own they-inscribed — Caesar and the next I-foresaw
τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού
the Lord before me always because at right-hand my
ἐστιν ἵνα μὴ σαλευθῶ· καὶ μετ' ὀλίγον· Ἔτι δὲ καὶ ἕως
he-is that not I-may-be-shaken and after a-little still and also until
νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου· καὶ μετὰ ταῦτα
night instructed me the kidneys my and after these-things

σαφέστατα λέγει· Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου
most-clearly he-says that not you-will-abandon the soul my
εἰς ᾅδην, οὐδὲ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν.
into Hades nor will-you-give the Holy(-One) your to-see corruption
Οὐκ εἶπεν· Οὐδὲ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν θάνατον,
not he-said nor will-you-give the Holy(-One) your to-see death
ἐπεὶ οὐκ ἀπέθνησκεν· ἀλλὰ, τὴν μὲν διαφθορὰν, φησὶν, οὐ
since not he-was-dying but the indeed corruption he-says not
βλέπω, ἐν δὲ τῷ θανάτῳ οὐκ ἀπομενῶ. Ἐγνώρισάς μοι
I-see in but the death not I-shall-remain you-made-known to-me
ὁδοὺς ζωῆς. Ἰδοὺ σαφῶς μετὰ τὸν θάνατον ζωὴ κηρύσσεται.
ways of-life behold clearly after the death life is-proclaimed
Ἐλθὲ καὶ ἐπὶ τὸν εἰκοστὸν ἔννατον ψαλμόν· Ὑψώσω σε,
come also to the twentieth ninth psalm I-will-exalt you
Κύριε, ὅτι ὑπέλαβές με. καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς
Lord because you-took-up me and not you-gladdened the enemies
μου ἐπ᾽ ἐμέ. Τί τὸ γενόμενον; ἐξ ἐχθρῶν ἐρρύσθης,
my over me what the(-thing) having-happened from enemies were-you-rescued
ἢ μέλλων τύπτεσθαι ἀπηλλάγης; Αὐτὸς σαφέστατα λέγει·
or being-about to-be-beaten were-you-released he most-clearly says
Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου. Ἐκεῖ λέγει, Οὐκ
Lord you-brought-up from Hades the soul my there he-says not
ἐγκαταλείψεις, προφητικῶς· καὶ ὧδε λέγει τὸ μέλλον
you-will-abandon prophetically and here he-says the(-thing) about
γίνεσθαι ὡς γεγενημένον, ὅτι Ἀνήγαγες. Ἔσωσάς με ἀπὸ
to-happen as having-happened that you-brought-up you-saved me from
τῶν καταβαινόντων εἰς λάκκον. Ἐν ποίῳ καιρῷ
the(-ones) going-down into pit at what-kind-of time
τὸ ἐσόμενον; Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ
the(-thing) to-be at evening will-lodge weeping and

εἰς τὸ πρωὶ ἀγαλλίασις. Ὀψὲ γὰρ τῶν μαθητῶν ἦν τὸ
at the morning exultation late for of-the disciples was the
πένθος· καὶ πρωὶ, τῆς ἀναστάσεως ἡ εὐφροσύνη.
mourning and at-morning of-the resurrection the gladness
Θέλεις δὲ γνῶναι καὶ τὸν τόπον; Λέγει πάλιν ἐν
do-you-wish and to-know also the place says again in
Ἄσμασιν· Εἰς κῆπον καρύας κατέβην· κῆπος γὰρ ἦν
Songs into garden of-nut-trees I-went-down garden for it-was
ὅπου ἐσταυρώθη. Εἰ γὰρ καὶ τὰ μάλιστα νῦν βασιλικαῖς
where he-was-crucified if for even the most now with-royal
δωρεαῖς ἐφαιδρύνθη, ἀλλὰ κῆπος ἦν πρότερον, καὶ τὰ
gifts it-has-been-brightened but garden it-was before and the
σύμβολα τούτου μένει καὶ τὰ λείψανα. Κῆπος κεκλεισμένος,
tokens of-this remain and the remains garden shut-up
πηγὴ ἐσφραγισμένη, ὑπὸ τῶν Ἰουδαίων τῶν λεγόντων·
spring sealed by the Jews the(-ones) saying
Ἐμνήσθημεν, ὅτι ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν εἶπεν· Ὅτι μετὰ
we-remembered that the deceiver that still living said that after
τρεῖς ἡμέρας ἐγείρομαι· κέλευσον οὖν ἀσφαλισθῆναι τὸν
three days I-rise command then to-be-made-secure the
τάφον· καὶ ἑξῆς. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον,
tomb and next they and having-gone made-secure the tomb
σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας. Πρὸς οὓς
having-sealed the stone with the guard to whom
καλῶς ἀποτεινόμενός τις εἶπε· Καὶ εἰς ἀνάπαυσιν αὐτοὺς
well addressing someone said and into rest them
κρινεῖς. Τίς δέ ἐστιν ἡ πηγὴ ἡ ἐσφραγισμένη, ἢ τίς
you-will-judge who and is the spring the(-one) sealed or what
ἑρμηνεύεται πηγὴ φρέατος ὕδατος ζῶντος; Αὐτός ἐστιν ὁ
is-interpreted spring of-well of-water living he is the
Σωτὴρ, περὶ οὗ γέγραπται· Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.
Savior about whom it-is-written that with you spring of-life

Ἀλλὰ τί λέγει τοῖς μαθηταῖς ὁ Σοφωνίας ἐκ προσώπου 6
but what says to-the disciples — Sophonias from the-person
τοῦ Χριστοῦ; Ἑτοιμάζου, ὄρθριζε· διέφθαρται πᾶσα ἡ
— of-Christ prepare rise-early has-been-destroyed all the
ἐπιφυλλὶς αὐτῶν· τῶν Ἰουδαίων δηλονότι, παρ' οἷς οὐ
gleaning their of-the Jews evidently with whom not
καταλέλειπται βότρυς σωτηρίας, ἀλλ' οὐδὲ ἐπιφυλλίς·
has-been-left cluster of-salvation but not-even gleaning
ἐκκόπτεται γὰρ ἡ ἄμπελος αὐτῶν. Βλέπε, πῶς λέγει πρὸς
is-cut-off for the vine their see how he-says to
τοὺς μαθητάς· Ἑτοιμάζου, ὄρθρισον· ὄρθρου προσδόκα τὴν
the disciples prepare rise-early at-dawn expect the
ἀνάστασιν. Καὶ ἑξῆς κατὰ τὴν αὐτὴν ἀκολουθίαν τῆς
resurrection and next according-to the same sequence of-the
Γραφῆς φησι· Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος,
Scripture he-says because-of this wait-for me says Lord
εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον. Βλέπεις, ὅτι
for day of-resurrection my for testimony you-see that
καὶ τὸν τόπον τῆς ἀναστάσεως προεῖδεν ὁ προφήτης,
also the place of-the resurrection foresaw the prophet
Μαρτύριον ἐπικληθησόμενον; Τίνι γὰρ τῷ λόγῳ, μὴ
Martyrium to-be-called for-what for the reason not
κατὰ τὰς λοιπὰς Ἐκκλησίας ὁ τοῦ Γολγοθᾶ καὶ τῆς
like the other Churches the — of-Golgotha and of-the
ἀναστάσεως οὗτος ὁ τόπος Ἐκκλησία καλεῖται, ἀλλὰ
resurrection this the place Church is-called but
Μαρτύριον; Ἀλλ' ἴσως διὰ τὸν προφήτην, τὸν
Martyrium but perhaps because-of the prophet the(-one)
εἰπόντα· Εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον.
having-said for day of-resurrection my for testimony

7 Καὶ τίς ἐστιν ἄρα οὗτος, καὶ τί τὸ σημεῖον τοῦ
and who is then this(-one) and what the sign of-the(-one)
ἀνισταμένου; Σαφῶς ἐν τοῖς ἑξῆς, ἐν τῇ αὐτῇ ἀκολουθίᾳ
rising clearly in the next in the same sequence
τοῦ προφήτου, φησίν· Ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς
of-the prophet he-says that then I-will-turn upon peoples
γλῶσσαν· ἐπειδὴ, μετὰ τὴν ἀνάστασιν ἀποσταλέντος τοῦ
tongue since after the resurrection sent the
ἁγίου Πνεύματος, ἐδόθη χάρις γλωσσῶν, πρὸς τὸ δουλεύειν
holy Spirit was-given grace of-tongues for the to-serve
τῷ Κυρίῳ ὑπὸ ζυγὸν ἕνα. Καὶ τί ἄλλο σύμβολον ἐν τῷ
the Lord under yoke one and what other token in the
αὐτῷ πρόκειται προφήτῃ, τοῦ δουλεύειν τῷ Κυρίῳ ὑπὸ ζυγὸν
same is-set-forth prophet of-the to-serve the Lord under yoke
ἕνα; Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσί μοι θυσίας.
one from ends of-rivers of-Ethiopia they-will-bring to-me sacrifices
Οἶδας τὸ γεγραμμένον ἐν ταῖς Πράξεσιν, ὅτε ἦλθεν
you-know the(-thing) written in the Acts when came
Αἰθίοψ εὐνοῦχος ἐκ περάτων ποταμῶν Αἰθιοπίας. Ὅταν
Ethiopian eunuch from ends of-rivers of-Ethiopia when
τοίνυν καὶ τὸν καιρὸν καὶ τοῦ τόπου τὸ ἰδίωμα, ὅταν καὶ τὰ
therefore both the time and of-the place the peculiarity when also the
μετὰ τὴν ἀνάστασιν σημεῖα λέγωσιν αἱ Γραφαί· πιστοποιοῦ
after the resurrection signs tell the Scriptures be-assured
λοιπὸν εἰς τὴν ἀνάστασιν, καὶ μηδείς σε σαλευέτω ἀπὸ
henceforth into the resurrection and let-no-one you shake from
τοῦ ὁμολογεῖν Χριστὸν ἐκ νεκρῶν ἐγηγερμένον.
the to-confess Christ from the-dead raised

8 Λάμβανε δὲ καὶ ἄλλην μαρτυρίαν ἐν τῷ ὀγδοηκοστῷ
take and also other testimony in the eightieth
ἑβδόμῳ ψαλμῷ, Χριστοῦ λέγοντος ἐν προφήταις (αὐτὸς
seventh psalm Christ saying in prophets (he

γὰρ ὁ λαλῶν τότε ὕστερον παρεγένετο)· Κύριε ὁ Θεὸς
for the(-one) speaking then later was-present) Lord — God
τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον
of-the salvation my by-day I-cried and in night before
σου· καὶ μετ᾽ ὀλίγα· Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος
you and after a-little I-became as man helpless
ἐν νεκροῖς ἐλεύθερος. Οὐκ εἶπεν· Ἐγενήθην ἄνθρωπος
among the-dead free not he-said I-became man
ἀβοήθητος· ἀλλ᾽, ὡσεὶ ἄνθρωπος ἀβοήθητος. Καὶ γὰρ
helpless but as man helpless and for
ἐσταυρώθη, οὐκ ἐξ ἀσθενείας, ἀλλ᾽ ἑκουσίως· καὶ οὐκ ἐξ
he-was-crucified not from weakness but willingly and not from
ἀσθενείας ἀκουσίου ἦν ὁ θάνατος. Προσελογίσθην μετὰ
weakness involuntary was the death I-was-reckoned with
τῶν καταβαινόντων εἰς λάκκον. Καὶ τί τὸ σύσσημον;
the(-ones) going-down into pit and what the token
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ (πεφεύγασι γὰρ
you-removed the acquaintances my from me (have-fled for
οἱ μαθηταί). Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; εἶτα μετ᾽
the disciples) not for-the dead will-you-do wonders then after
ὀλίγα· Καὶ ἐγὼ, Κύριε, πρὸς σὲ ἐκέκραξα, καὶ τὸ πρωὶ ἡ
a-little and I Lord to you cried and at-the morning the
προσευχή μου προφθάσει σε. Βλέπεις, πῶς δηλοῦσι καὶ τὸν
prayer my will-come-before you you-see how they-show both the
καιρόν τῆς ὥρας, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως;
time of-the hour and of-the passion and of-the resurrection
Καὶ πόθεν ἐγήγερται ὁ Σωτήρ; Λέγει ἐν τοῖς Ἄσμασι 9
and whence has-been-raised the Savior he-says in the Songs
τῶν ᾀσμάτων. Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου· καὶ ἐν
of-the songs arise come the(-one) near me and in
τοῖς ἑξῆς· Ἐν σκέπῃ τῆς πέτρας. Σκέπην τῆς πέτρας
the next in shelter of-the rock shelter of-the rock

εἶπε τὴν τότε πρὸ τῆς θύρας τοῦ σωτηρίου μνήματος
he-called the then before the door of-the saving tomb
οὖσαν σκέπην, καὶ ἐξ αὐτῆς τῆς πέτρας, καθὼς σύνηθες
being shelter and from itself the rock as customary
ἐνταῦθα γίνεσθαι πρὸ τῶν μνημάτων, λελαξευμένην. Νῦν
here to-be-made before the tombs hewn now
γὰρ οὐ φαίνεται, ἐπειδὴ τότε ἐξεκολάφθη τὸ προσκέπασμα
for not it-appears since then was-hewn-away the outer-shelter
διὰ τὴν παροῦσαν εὐκοσμίαν. Πρὸ γὰρ τῆς βασιλικῆς
because-of the present adornment before for the royal
φιλοτιμίας τῆς κατασκευῆς τοῦ μνήματος, σκέπη ἦν
munificence of-the construction of-the tomb shelter was
ἔμπροσθεν τῆς πέτρας. Ἀλλὰ ποῦ ἐστιν ἡ πέτρα, ἡ
in-front-of the rock but where is the rock the(-one)
ἔχουσα τὴν σκέπην; ἆρα περὶ τὰ μέσα τῆς πόλεως
having the shelter — near the middle of-the city
κεῖται, ἢ περὶ τὰ τείχη καὶ τὰ τελευταῖα; καὶ πότερον
does-it-lie or near the walls and the outermost(-parts) and whether
ἐν τοῖς ἀρχαίοις τείχεσίν ἐστιν, ἢ τοῖς ὕστερον γενομένοις
in the ancient walls it-is or the later made
προτειχίσμασι; Λέγει τοίνυν ἐν τοῖς Ἄσμασιν· Ἐν σκέπῃ
outworks says therefore in the Songs in shelter
τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος.
of-the rock next-to the outwork
10 Ποίῳ καιρῷ ἐγείρεται ὁ Σωτήρ; ἆρα θέρους καιρὸς, ἢ
at-what time rises the Savior — of-summer time or
ἄλλος; Ἐν αὐτοῖς τοῖς Ἄσμασιν ἀνωτέρω τῶν εἰρημένων
other in very the Songs above the(-things) said
εὐθὺς λέγει· Ὁ χειμὼν παρῆλθεν. ὁ ὑετὸς παρῆλθεν
immediately he-says the winter has-passed the rain has-passed
ἑαυτῷ, καὶ ἐπορεύθη· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ· καιρὸς
for-itself and has-gone the flowers appeared in the earth time

τῆς τομῆς ἔφθασεν. Ἆρα οὐχὶ νῦν ἡ γῆ ἀνθῶν πλήρης,
of-the pruning has-arrived — not now the earth of-flowers full
καὶ τέμνουσι τὰς ἀμπέλους; Ὁρᾷς, ὅπως καὶ τὸν χειμῶνα
and they-prune the vines you-see how also the winter
εἶπε λοιπὸν παρελθόντα Ξανθικοῦ γὰρ τούτου τοῦ μηνὸς
he-called henceforth past of-Xanthicus for this the month
ἐνεστῶτος, ἔαρ ἐστὶ λοιπόν. Ὁ δὲ καιρός ἐστιν οὗτος, ὁ
being-present spring it-is henceforth the and time is this the
μὴν ὁ παρ᾽ Ἑβραίοις πρῶτος, ἐν ᾧ ἡ ἑορτὴ τοῦ
month the(-one) among Hebrews first in which the feast of-the
Πάσχα τοῦ πρότερον τυπικοῦ, νῦν δὲ ἀληθινοῦ. Οὗτος
Passover the(-one) formerly typical now and true this
ὁ καιρὸς τῆς τοῦ κόσμου δημιουργίας· τότε γὰρ εἶπεν ὁ
the time of-the of-the world creation then for said —
Θεός· Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα
God let-bring-forth the earth herb of-grass sowing seed
κατὰ γένος καὶ καθ᾽ ὁμοιότητα. Καὶ νῦν, ὡς ὁρᾷς,
according-to kind and according-to likeness and now as you-see
λοιπὸν πᾶσα βοτάνη σπερματίζει. Καὶ ὥσπερ τότε ὁ Θεὸς
henceforth every herb seeds and just-as then — God
ποιήσας ἥλιον καὶ σελήνην, ἰσημερινοὺς αὐτοῖς ἐχαρίσατο
having-made sun and moon equinoctial to-them granted
δρόμους· οὕτως καὶ πρὸ ὀλίγων ἡμερῶν ἰσημερίας ἦν ὁ
courses so also before few days of-equinox was the
καιρός. Τότε εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ᾽
time then said — God let-us-make man according-to
εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. Καὶ τὸ μὲν
image our and according-to likeness and the(-thing) indeed
κατ᾽ εἰκόνα, ἔλαβε· τὸ δὲ καθ᾽ ὁμοιότητα,
according-to image he-received the(-thing) but according-to likeness
διὰ τὴν παρακοὴν ἠμαύρωσε· Ἐν τῷ καιρῷ οὖν ᾧ
because-of the disobedience he-dimmed in the time then in-which

ἀπώλεσε τοῦτο, ἐν τούτῳ καὶ διόρθωσις ἐγένετο. Ὅτε
he-lost this in this also amendment came-about when
ὁ κατασκευασθεὶς ἄνθρωπος. παρακούσας ἐξεβλήθη τοῦ
the fashioned man having-disobeyed was-cast-out of-the
παραδείσου· τότε ὁ πιστεύσας, ὑπακούσας εἰσηνέχθη.
paradise then the(-one) having-believed having-obeyed was-brought-in
Τότε τοίνυν γέγονεν ἡ σωτηρία, ὅτε γέγονεν ἡ ἀπόπτωσις·
then therefore happened the salvation when happened the falling-away
ὅτε τὰ ἄνθη ὤφθη, καὶ ἡ τομὴ ἔφθασε.
when the flowers appeared and the pruning arrived

11 Κῆπος ἦν ὁ τόπος τῆς ταφῆς· καὶ ἄμπελος ἡ
garden was the place of-the burial and vine the(-one)
φυτευθεῖσα· Καὶ ἐγώ εἰμι ἡ ἄμπελος, εἴρηκεν. Ἐφυτεύθη
planted and I am the vine he-has-said was-planted
οὖν ἐν τῇ γῇ, ἵνα ἐκριζωθῇ ἡ διὰ τὸν Ἀδὰμ γενομένη
then in the earth that may-be-uprooted the because-of — Adam having-come
κατάρα· Ἀκάνθας καὶ τριβόλους κατεδικάσθη ἡ γῆ·
curse to-thorns and thistles was-condemned the earth
ἀνέτειλεν ἐκ τῆς γῆς ἡ ἄμπελος ἡ ἀληθινὴ, ἵνα πληρωθῇ
sprang-up from the earth the vine the true that may-be-fulfilled
τὸ εἰρημένον· Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ
the(-thing) said truth from the earth sprang-up and
δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ τί μέλλει λέγειν
righteousness from the heaven looked-down and what is-about to-say
ὁ θαπτόμενος ἐν τῷ κήπῳ; Ἐτρύγησα σμύρναν μου
the(-one) being-buried in the garden I-gathered myrrh my
μετὰ ἀρωμάτων μου· καὶ πάλιν· Σμύρνα καὶ ἀλόη μετὰ
with spices my and again myrrh and aloe with
πρώτων πάντων ἀρωμάτων. Ταῦτα δὲ τοῦ ἐνταφιασμοῦ
first all spices these-things and of-the burial
τὰ σύμβολα· καὶ ἐν τοῖς Εὐαγγελίοις εἴρηται. Ἦλθον αἱ
the tokens and in the Gospels it-is-said came the

γυναῖκες εἰς τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα·
women to the tomb bringing what they-prepared spices
καὶ ὁ Νικόδημος φέρων μίγμα σμύρνης καὶ ἀλόης· Καὶ
and — Nicodemus bringing mixture of-myrrh and aloe and
ἑξῆς γέγραπται· Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου· τὸ
next it-is-written I-ate bread my with honey my the
πικρὸν πρὸ τοῦ πάθους, καὶ τὸ γλυκὺ μετὰ τὴν ἀνάστασιν.
bitter before the passion and the sweet after the resurrection
Εἶτα ἀναστὰς, εἰσῆλθε, διὰ θυρῶν κεκλεισμένων· ἀλλ'
then having-risen he-entered through doors shut but
ἠπιστεῖτο· ἐδόκουν γὰρ πνεῦμα θεωρεῖν· Ὁ δὲ, Ψηλαφήσατέ
he-was-disbelieved they-thought for spirit to-behold he but handle
με, φησὶ, καὶ ἴδετε· βάλλετε τοὺς δακτύλους εἰς τὸν τύπον
me he-says and see put the fingers into the mark
τῶν ἥλων, ὡς ἐπεζήτει Θωμᾶς. Καὶ ἔτι ἀπιστούντων
of-the nails as sought Thomas and still disbelieving
αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς·
them from the joy and marveling he-said to-them
Ἔχετέ τι βρώσιμον ἐνθάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ
have-you anything edible here they and handed him
ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίον. Βλέπεις
of-fish broiled part and from beehive honeycomb you-see
πῶς πεπλήρωται τὸ, Ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου.
how has-been-fulfilled the I-ate bread my with honey my
Ἀλλὰ πρὸ τοῦ εἰσελθεῖν διὰ τῶν θυρῶν κεκλεισμένων, 12
but before the to-enter through the doors shut
ἐζητεῖτο ὑπὸ τῶν ἀρίστων ἐκείνων καὶ ἀνδρείων γυναικῶν
he-was-sought by the best those and manly women
ὁ νυμφίος, καὶ ὁ τῶν ψυχῶν θεραπευτής. Ἦλθον αἱ
the bridegroom and the of-the souls healer came the
μακάριαι ἐπὶ τὸν τάφον, καὶ ἐζήτουν τὸν ἐγηγερμένον,
blessed(-women) to the tomb and were-seeking the(-one) raised

καὶ ἔσταζεν αὐτῶν ἔτι τὰ δάκρυα ἐκ τῶν ὀφθαλμῶν,
and dripped their still the tears from the eyes
δέον μᾶλλον εὐφραίνεσθαι, καὶ χορεύειν ἐπὶ τῷ
it-being-needful rather to-be-glad and to-dance over the(-one)
ἀναστάντι. Ἦλθεν ἡ Μαριὰμ ζητοῦσα, κατὰ τὸ
risen came — Mary seeking according-to the
Εὐαγγέλιον, καὶ οὐχ ηὗρηκε· καὶ μετὰ ταῦτα ἤκουσε παρὰ
Gospel and not found and after these-things heard from
τῶν ἀγγέλων, καὶ ὕστερον εἶδε τὸν Χριστόν. Ἆρα καὶ
the angels and later saw — Christ — also
ταῦτα γέγραπται; Λέγει τοίνυν ἐν Ἄσμασι τῶν ᾀσμάτων·
these-things are-written says therefore in Songs of-the songs
Ἐπὶ κοίτην μου ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου. Ποίῳ
on bed my I-sought whom loved the soul my at-what
καιρῷ; Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα, ὃν ἠγάπησεν
time on bed my in nights I-sought whom loved
ἡ ψυχή μου (Μαρία, φησὶν, ἦλθεν ἔτι οὔσης σκοτίας).
the soul my (Mary he-says came still being darkness)
Ἐπὶ κοίτην μου ἐζήτησα ἐν νυξίν· ἐζήτησα αὐτὸν, καὶ οὐχ
on bed my I-sought in nights I-sought him and not
εὗρον αὐτόν. Καὶ ἐν Εὐαγγελίοις φησὶν ἡ Μαριάμ· Ἦραν
found him and in Gospels says — Mary they-took
τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ τέθεικαν αὐτόν. Ἀλλ᾽
the Lord my and not I-know where they-have-laid him but
οἱ ἄγγελοι παρόντες τότε, θεραπεύουσι τὰς ἀγνωσίας·
the angels being-present then heal the ignorances
ἔλεγον γάρ· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐ
they-said for why do-you-seek the living with the dead not
μόνον ἀνέστη, ἀλλὰ καὶ νεκροὺς ἔχων ἀνέστη. Ἠγνόει
only he-rose but also dead having he-rose was-ignorant
δὲ ἐκείνη, καὶ ἔλεγεν ἐκ προσώπου αὐτῆς τὸ Ἆσμα τῶν
and she and said from the-person her the Song of-the

ᾀσμάτων πρὸς τοὺς ἀγγέλους· Μὴ, ὃν ἠγάπησεν ἡ
songs to the angels not him-whom loved the
ψυχή μου, ἴδετε; ὡς μικρὸν, ὅτε παρῆλθον ἀπ᾽ αὐτῶν
soul my have-you-seen as a-little when I-passed from them
(τουτέστι, τῶν δύο ἀγγέλων). ἕως οὗ εὗρον ὃν ἠγάπησεν
(that-is the two angels) until — I-found whom loved
ἡ ψυχή μου· ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτόν.
the soul my I-held him and not I-let-go him
Μετὰ γὰρ τὴν ὀπτασίαν τῶν ἀγγέλων αὐτάγγελος Ἰησοῦς 13
after for the vision of-the angels in-person Jesus
ἦλθε, καί φησι τὸ Εὐαγγέλιον· Καὶ ἰδοὺ ὁ Ἰησοῦς
came and says the Gospel and behold — Jesus
ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε· αἱ δὲ προσελθοῦσαι
met them saying rejoice they and having-come
ἐκράτησαν αὐτοῦ τοὺς πόδας. Ἐκράτησαν αὐτὸν, ἵνα
held his the feet they-held him that
πληρωθῇ τὸ, Κρατήσω αὐτὸν καὶ οὐκ ἀφήσω αὐτόν.
may-be-fulfilled the I-will-hold him and not I-will-let-go him
Ἀσθενὲς μὲν ἦν τῆς γυναικὸς τὸ σῶμα, ἀνδρεῖον δὲ τὸ
weak indeed was of-the woman the body manly but the
φρόνημα. Ὕδωρ πολὺ οὐκ ἔσβεσε τὴν ἀγάπην οὐδὲ ποταμοὶ
mind water much not quenched the love nor rivers
συνέκλυσαν· νεκρὸς ὁ ζητούμενος, ἀλλ᾽ οὐκ ἐσβέσθη
overwhelmed dead the(-one) sought but not was-quenched
τῆς ἀναστάσεως ἡ ἐλπίς. Καὶ ὁ ἄγγελος πρὸς αὐτὰς λέγει
of-the resurrection the hope and the angel to them says
πάλιν· Μὴ φοβεῖσθε ὑμεῖς. Οὐ λέγω τοῖς στρατιώταις τὸ,
again not fear you not I-say to-the soldiers the
Μὴ φοβεῖσθε, ἀλλ᾽ ὑμῖν. Ἐκεῖνοι φοβείσθωσαν, ἵνα πείρᾳ
not fear but to-you those let-fear that by-trial
μαθόντες μαρτυρήσωσι, καὶ εἴπωσιν· Ἀληθῶς Θεοῦ Υἱὸς
having-learned they-may-testify and say truly of-God Son

ἦν· ὑμᾶς δὲ οὐ χρὴ φοβηθῆναι, ἡ γὰρ τελεία ἀγάπη
he-was you but not it-is-needful to-fear the for perfect love
ἔξω βάλλει τὸν φόβον. Πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς
out casts the fear having-gone tell the disciples
αὐτοῦ, ὅτι ἠγέρθη, καὶ τὰ ἑξῆς. Καὶ ἀναχωροῦσιν
his that he-was-raised and the next and depart
ἐκεῖναι μετὰ χαρᾶς ἔμφοβοι. Ἆρα καὶ τοῦτο γέγραπται;
those(-women) with joy fearful — also this is-written
Λέγει τοίνυν ὁ δεύτερος ψαλμὸς, ὁ τὸ πάθος τοῦ
says therefore the second psalm the(-one) the passion —
Χριστοῦ διαγορεύων· Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ
of-Christ declaring serve the Lord in fear and
ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Ἀγαλλιᾶσθε μὲν διὰ τὸν
exult in-him in trembling exult indeed because-of the
ἀναστάντα Κύριον· ἐν τρόμῳ δὲ διὰ τὸν σεισμὸν, καὶ
risen Lord in trembling and because-of the earthquake and
τὸν ἄγγελον τὸν ὡς ἀστραπὴν φανέντα.
the angel the(-one) as lightning having-appeared

14 Ἐσφράγισαν μὲν οὖν ἀρχιερεῖς καὶ Φαρισαῖοι διὰ
sealed indeed then chief-priests and Pharisees through
Πιλάτου τὸν τάφον· αἱ δὲ γυναῖκες ἐθεάσαντο τὸν
Pilate the tomb the but women beheld the(-one)
ἀναστάντα. Καὶ γινώσκων Ἡσαΐας ἀρχιερέων μὲν τὸ
risen and knowing Isaiah of-chief-priests indeed the
εὐτελὲς, τῶν δὲ γυναικῶν τὸ στερρὸν τῆς πίστεως,
paltriness of-the but women the firmness of-the faith
λέγει· Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ
says women coming from sight come not for
λαός ἐστιν ἔχων σύνεσιν· ἀρχιερεῖς ἀσυνετοῦσιν, καὶ
a-people it-is having understanding chief-priests lack-understanding and
γυναῖκες αὐτοπτοῦσι. Καὶ ἐλθόντων τῶν στρατιωτῶν
women see-for-themselves and having-come the soldiers

πρὸς αὐτοὺς εἰς τὴν πόλιν, καὶ ἀπαγγειλάντων πάντα
to them into the city and having-reported all
τὰ γενόμενα, εἶπον αὐτοῖς· Εἴπατε, ὅτι οἱ μαθηταὶ
the(-things) having-happened they-said to-them say that the disciples
αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.
his by-night having-come stole him us sleeping
Καλῶς ἄρα καὶ τοῦτο ὡς ἐξ αὐτῶν προεῖπεν Ἡσαΐας·
well then also this as from them foretold Isaiah
Ἀλλὰ λέγετε ἡμῖν, καὶ ἀπαγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν.
but tell us and report to-us another deceit
Ἐγήγερται ὁ ἀναστὰς, καὶ διὰ δόσιν ἀργυρίου
has-been-raised the(-one) risen and through gift of-silver
πείθουσι τοὺς στρατιώτας· ἀλλ' οὐ πείθουσι τοὺς νῦν
they-persuade the soldiers but not they-persuade the present
βασιλεῖς. Οἱ τότε μὲν στρατιῶται, ἀργυρίῳ προδεδώκασι
kings the then indeed soldiers for-silver have-betrayed
τὴν ἀλήθειαν· οἱ δὲ νῦν βασιλεῖς δι' εὐσέβειαν,
the truth the but present kings through piety
ἀργυρένδυτον καὶ χρυσοκόλλητον τὴν ἁγίαν ἐκκλησίαν
silver-clad and gold-inlaid the holy church
ταύτην ἐν ᾗ πάρεσμεν, τῆς τοῦ Σωτῆρος Θεοῦ
this in which we-are-present of-the of-the Savior God
Ἀναστάσεως, ἐξειργάσαντο· καὶ τοῖς ἐξ ἀργύρου, καὶ
Resurrection worked-out and with-the of silver and
χρυσοῦ, καὶ λίθων τιμίων κειμηλίοις ἐφαίδρυναν. Κἂν
gold and stones precious treasures brightened even-if
ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτόν.
is-heard this before the governor we will-persuade him
Καὶ εἰ ἐκείνους πείθετε, τὴν δὲ οἰκουμένην οὐ πείθετε. Διὰ
and if those you-persuade the but world not you-persuade for
τί γὰρ, ὥσπερ τοῦ Πέτρου ἐξελθόντος ἐκ τῆς φυλακῆς
what for as — Peter having-gone-out from the prison

οἱ φύλακες κατεδικάζοντο, οὕτω καὶ οἱ τὸν Ἰησοῦν
the guards were-condemned so also the(-ones) — Jesus
Χριστὸν τηροῦντες οὐ κατεδικάσθησαν; Ἀλλ' ἐκείνοις
Christ guarding not were-condemned but on-those
μὲν ἐπῆλθεν ἡ καταδίκη παρὰ Ἡρώδου, ἀπολογήσασθαι
indeed came the condemnation from Herod to-make-defense
γὰρ οὐχ εὗρισκον ἐξ ἀγνοίας· οὗτοι δὲ τὴν ἀλήθειαν
for not they-found from ignorance these but the truth
ἰδόντες, καὶ ταύτην κρύπτοντες διὰ τὸ ἀργύριον, ἀπὸ
having-seen and it hiding because-of the silver by
τῶν ἀρχιερέων διεσώζοντο. Ἀλλ' ὀλίγοι μὲν ἐπείσθησαν
the chief-priests were-kept-safe but few indeed were-persuaded
Ἰουδαίων τότε· ὁ κόσμος δὲ ὑπήκουσεν. Οἱ κρύψαντες
of-Jews then the world but obeyed the(-ones) having-hidden
τὴν ἀλήθειαν, κατεκρύφθησαν· καὶ οἱ καταδεξάμενοι
the truth were-hidden and the(-ones) having-received
ταύτην, ἀνεφάνησαν δυνάμει τοῦ Σωτῆρος, τοῦ μὴ μόνον
it appeared by-power of-the Savior the(-one) not only
ἐκ νεκρῶν ἀναστάντος, ἀλλὰ καὶ μεθ' ἑαυτοῦ τοὺς νεκροὺς
from the-dead having-risen but also with himself the dead
ἐγείραντος· ὧν ἐκ προσώπου σαφῶς ὁ προφήτης
having-raised of-whom from the-person clearly the prophet
Ὡσηέ φησιν· Ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν ἡμέρᾳ
Hosea says he-will-heal us after two days in day
τῇ τρίτῃ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ.
the third we-shall-rise and we-shall-live before him
15 Ἐπειδὴ δὲ οὐ πείθουσιν αἱ θεῖαι Γραφαὶ τοὺς ἀνηκόους
since but not persuade the divine Scriptures the disobedient
Ἰουδαίους, ἐπιλαθόμενοι δὲ πάντων τῶν γεγραμμένων
Jews having-forgotten and all the(-things) written
ἀντιλέγουσι τῇ ἀναστάσει τοῦ Ἰησοῦ, καλὸν ἂν εἴη
they-contradict the resurrection — of-Jesus good — it-would-be

πρὸς αὐτοὺς οὕτως ἀντειπεῖν· Τίνι τῷ λόγῳ τὸν
to them thus to-answer for-what the reason —
Ἐλισσαῖον καὶ τὸν Ἠλίαν νεκροὺς ἐγηγερκέναι λέγοντες,
Elisha and — Elijah dead to-have-raised saying
τῇ ἀναστάσει τοῦ ἡμετέρου Σωτῆρος ἀντιλέγετε; Ὅτι νῦν
the resurrection of-the our Savior do-you-contradict because now
ἆρα ζῶντας ἐκ τῶν τότε μάρτυρας οὐκ ἔχομεν τῶν
— living from the(-men) then witnesses not we-have of-the(-things)
λεγομένων; οὐκοῦν καὶ ὑμεῖς παραστήσατε τῶν τότε
said therefore also you present of-the(-things) then
γεγονότων μάρτυρας. Ἀλλ' ἔγγραφον ἐκεῖνο; καὶ τοῦτο
having-happened witnesses but written that and this
ἔγγραφον. Διὰ τί οὖν τὸ μὲν ἀποδέχεσθε, τὸ δὲ
written for what then the indeed do-you-accept the but
ἀποδοκιμάζετε; Ἑβραῖοι ἔγραψαν ἐκεῖνα· καὶ οἱ ἀπόστολοι
reject Hebrews wrote those-things and the apostles
πάντες Ἑβραῖοι. Διὰ τί οὖν τοῖς Ἰουδαίοις ἀπιστεῖτε;
all Hebrews for what then the Jews do-you-disbelieve
Ματθαῖος, ὁ γράψας τὸ Εὐαγγέλιον, Ἑβραΐδι
Matthew the(-one) having-written the Gospel in-Hebrew
γλώσσῃ τοῦτο ἔγραψε· καὶ Παῦλος ὁ κῆρυξ, Ἑβραῖος ἐξ
tongue this wrote and Paul the herald Hebrew of
Ἑβραίων· καὶ οἱ δώδεκα ἀπόστολοι, ἐξ Ἑβραίων. Εἶτα
Hebrews and the twelve apostles of Hebrews then
δεκαπέντε Ἱεροσολυμῖται ἐπίσκοποι, ἐξ Ἑβραίων κατὰ
fifteen of-Jerusalem bishops of Hebrews in
διαδοχὴν κατέστησαν. Τίνι τοίνυν τῷ λόγῳ ἀποδέχεσθε
succession were-established for-what therefore the reason do-you-accept
μὲν τὰ οἰκεῖα, τὰ δὲ ἡμέτερα ἀποδοκιμάζετε, καὶ
indeed the(-things) own the but ours reject and
ταῦτα ὑπὸ τῶν παρ' ὑμῖν Ἑβραίων γεγραμμένα;
these by the among you Hebrews written

16 Ἀλλ᾽ ἀδύνατον, λέγει τις, τὸ ἀναστῆναι νεκρούς. Καὶ
but impossible says someone the to-rise dead and
μὴν ἤγειρεν Ἐλισσαῖος δὶς, καὶ ζῶν καὶ τελευτήσας. Εἶτα,
indeed raised Elisha twice both living and having-died then
πιστεύομεν, ὅτι Ἐλισσαίου νεκροῦ ὄντος ἥψατο νεκρὸς
we-believe that of-Elisha dead being touched dead-man
ἐπιῤῥιφεὶς, καὶ ἀνέστη· Χριστὸς δὲ ἄρα ἐκ νεκρῶν οὐκ
cast-upon(-him) and rose Christ but then from the-dead not
ἐγήγερται; Ἀλλ᾽ Ἐλισσαίου μὲν ἐκεῖ νεκρὸς ἁψάμενος
has-been-raised but of-Elisha indeed there dead-man having-touched
ἀνέστη, καὶ αὐτὸς ὁ ἀναστήσας ἔμεινεν ὁμοίως νεκρός·
rose and himself the(-one) having-raised remained likewise dead
ὧδε δὲ καὶ ὁ νεκρὸς ὁ ἡμέτερος ἀνέστη, καὶ πολλοὶ
here but both the dead(-man) the our rose and many
μηδὲ ἁψάμενοι αὐτοῦ νεκροὶ ἀνέστησαν. Πολλὰ γὰρ
not-even having-touched him dead rose many for
σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη· καὶ ἐξελθόντες
bodies of-the fallen-asleep saints were-raised and having-come-out
ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν
from the tombs after the raising his entered into the
ἁγίαν πόλιν (δῆλον δὲ, ὅτι ταύτην ἐν ᾗ νῦν ἐσμεν), καὶ
holy city (clear and that this in which now we-are) and
ἐνεφανίσθησαν πολλοῖς. Ἤγειρε μὲν οὖν Ἐλισσαῖος νεκρὸν,
appeared to-many raised indeed then Elisha dead(-man)
ἀλλ᾽ οὐκ ἐκράτησεν οἰκουμένης· ἤγειρεν Ἠλίας νεκρὸν, ἀλλ᾽
but not he-mastered world raised Elijah dead(-man) but
οὐκ ἐν τῷ ὀνόματι Ἠλία δαίμονες ἀπελαύνονται. Οὐ κακῶς
not in the name of-Elijah demons are-driven-out not evilly
λέγομεν τοὺς προφήτας, ἀλλὰ τὸν Δεσπότην τὸν
we-speak-of the prophets but the Master the(-Master)
ἐκείνων μειζόνως ἀνυμνοῦμεν. Οὐ γὰρ ἐκεῖνα κακίζοντες,
of-them more-greatly we-hymn not for those-things disparaging

τὰ ἡμέτερα σεμνύνομεν· ἡμέτερα γὰρ κἀκεῖνα. Ἀλλ᾽
the(-things) ours we-exalt ours for those-too but
ἐκ τῶν παρ᾽ αὐτοῖς τὰ ἡμέτερα πιστοποιοῦμεν.
from the(-things) among them the(-things) ours we-make-sure
Ἀλλὰ πάλιν λέγουσιν, ὅτι Νεκρὸς μὲν ὁ πρόσφατον 17
but again they-say that dead-man indeed the(-one) recently
τότε τελευτήσας, ὑπὸ τοῦ ζῶντος ἐγήγερται· δείξατε
then having-died by the living has-been-raised show
δὲ ἡμῖν ὅτι ἐγχωρεῖ νεκρὸν τριήμερον ἀναστῆναι, καὶ
and us that it-is-possible dead-man three-days(-dead) to-rise and
ἐγχωρεῖ ἄνθρωπον ταφέντα· μετὰ τρεῖς ἡμέρας ἀναστῆναι.
it-is-possible man buried after three days to-rise
Ζητούντων δὲ ἡμῶν τὴν περὶ τοιούτων μαρτυρίαν, δίδωσιν
seeking and us the about such-things testimony gives
ἡμῖν ταύτην αὐτὸς ὁ Κύριος Ἰησοῦς ἐν Εὐαγγελίοις, λέγων·
us it himself the Lord Jesus in Gospels saying
Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, τρεῖς
just-as for was Jonah in the belly of-the sea-monster three
ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου
days and three nights so will-be the Son of-the man
ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.
in the heart of-the earth three days and three nights
Ἐξεταζόντων δὲ ἡμῶν τὴν κατὰ τὸν Ἰωνᾶν διήγησιν,
examining and us the about — Jonah narrative
πολλὴ τῆς ὁμοιότητός ἐστιν ἡ ἐνέργεια. Ἰησοῦς ἀπεστάλη
great of-the likeness is the operation Jesus was-sent
μετάνοιαν κηρύξαι· καὶ Ἰωνᾶς ἀπεστάλη. Ἀλλ᾽ ὁ μὲν
repentance to-preach and Jonah was-sent but the(-one) indeed
ἔφυγεν, ἀγνοῶν τὸ ἐσόμενον· ὁ δὲ ἑκουσίως
fled not-knowing the(-thing) to-be the(-other) but willingly
παραγέγονεν ἐπὶ μετανοίᾳ τῆς σωτηρίας. Ἰωνᾶς ἐκάθευδεν
came for repentance of-the salvation Jonah slept

ἐν τῷ πλοίῳ, καὶ ἔρεγχε θαλάσσης χειμαζομένης· καὶ
in the ship and snored the-sea being-storm-tossed and
Ἰησοῦ καθεύδοντος, κατ᾽ οἰκονομίαν ἐπεγείρετο ἡ θάλασσα,
Jesus sleeping by dispensation was-roused the sea
πρὸς τὸ γνωσθῆναι μετὰ ταῦτα τοῦ καθεύδοντος τὴν
for the to-be-known after these-things of-the(-one) sleeping the
δύναμιν. Ἐκείνῳ ἔλεγον, Τί σὺ ῥέγχεις; ἀνάστηθι, ἐπικαλοῦ
power to-that-one they-said what you snore arise call-upon
τὸν Θεόν σου, ἵνα διασώσῃ ἡμᾶς ὁ Θεός· ὧδε λέγουσι
— God your that may-save us — God here they-say
τῷ Δεσπότῃ. Κύριε, σῶσον ἡμᾶς ἐκεῖ εἶπον, Ἐπικαλοῦ
to-the Master Lord save us there they-said call-upon
τὸν Θεόν σου· καὶ ὧδε, Σῶσον. Ἀλλ᾽ ἐκεῖνος μὲν λέγει,
— God your and here save but that-one indeed says
Ἄρατέ με καὶ ἐμβάλλετε εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ
take me and cast into the sea and will-abate the
θάλασσα ἀφ᾽ ὑμῶν· ὧδε δὲ αὐτὸς ἐπετίμησεν τοῖς ἀνέμοις
sea from you here but he rebuked the winds
καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη· κακεῖνος μὲν
and the sea and there-was calm great and-he indeed
ἐβλήθη εἰς κοιλίαν κήτους· οὗτος δὲ κατῆλθεν ἑκουσίως,
was-cast into belly of-sea-monster this(-one) but went-down willingly
ὅπου τὸ νοητὸν τοῦ θανάτου κῆτος· ἑκουσίως δὲ
where the spiritual of-the death sea-monster willingly and
κατῆλθεν, ἵνα ἐξεμέσῃ τοὺς καταποθέντας ὁ θάνατος,
he-went-down that may-vomit-forth the(-ones) swallowed the death
κατὰ τὸ γεγραμμένον· Ἐκ χειρὸς ᾅδου ῥύσομαι
according-to the(-thing) written from hand of-Hades I-will-rescue
αὐτοὺς, καὶ ἐκ χειρὸς θανάτου λυτρώσομαι αὐτούς.
them and from hand of-death I-will-redeem them

Ἐνταῦθα γενόμενοι τοῦ λόγου, σκοπήσωμεν ποῖόν ἐστι 18
here having-come of-the discourse let-us-consider what is
δυσκολώτερον, ἄνθρωπον ταφέντα ἀπὸ γῆς ἀναστῆναι· ἢ
more-difficult man buried from earth to-rise or
ἄνθρωπον ἐν κοιλίᾳ κήτους, καὶ εἰς τοσαύτην θερμότητα
man in belly of-sea-monster and into so-great heat
τοῦ ζώου κατελθόντα, μὴ σαπῆναι; Τίς οὐκ οἶδεν ἀνθρώπων,
of-the beast having-gone-down not to-rot who not knows of-men
ὅτι τοσαύτην θέρμην ἔχουσιν αἱ γαστέρες, ὡς καὶ ὀστέα
that so-great heat have the bellies so-that even bones
καταποθέντα διασήπειν; Πῶς τοίνυν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ
swallowed to-rot-through how therefore Jonah in the belly of-the
κήτους τρεῖς ἡμέρας ὢν καὶ τρεῖς νύκτας, οὐ σέσηπεν; Πῶς
sea-monster three days being and three nights not rotted how
δὲ καὶ φύσεως οὔσης ἅπασιν ἀνθρώποις, χωρὶς ἀναπνοῆς
and also nature being to-all men without breathing
τῆς ἐν ἀέρι ταύτης, μὴ δύνασθαι ζῆν ἡμᾶς· ἐκεῖνος ἐν
of-the(-one) in air this not to-be-able to-live us that-one in
τρισὶν ἡμέραις οὐκ ἀναπνέων τὸν ἀέρα τοῦτον, ἔζησεν; Ἀλλ᾽
three days not breathing the air this lived but
ἀποκρίνονται Ἰουδαῖοι καὶ λέγουσι· Συγκατέβη τῷ Ἰωνᾷ
answer Jews and say went-down-with — Jonah
ἡ δύναμις τοῦ Θεοῦ ἐν ᾅδῃ κλονουμένῳ. Εἶτα, δούλῳ μὲν
the power — of-God in Hades being-tossed then to-servant indeed
οἰκείῳ συμπέμπων τὴν δύναμιν, παρέχει τὸ ζῆν ὁ Κύριος·
own sending-with the power provides the to-live the Lord
αὐτὸς δὲ ἑαυτῷ παρασχεῖν ἆρα οὐ δύναται; Εἰ πιστὸν
he but to-himself to-provide — not is-able if credible
ἐκεῖνο, καὶ τοῦτο πιστόν· εἰ τοῦτο ἄπιστον, κἀκεῖνο ἄπιστον·
that also this credible if this incredible that-too incredible
ἐμοὶ μὲν γὰρ ἀμφότερα ὁμοίως πιστά. Πιστεύω γὰρ, ὅτι
to-me indeed for both alike credible I-believe for that

καὶ Ἰωνᾶς διεφυλάχθη. Πάντα γὰρ δυνατὰ παρὰ τῷ Θεῷ.
also Jonah was-preserved all-things for possible with — God
Πιστεύω, ὅτι καὶ Χριστὸς ἐκ νεκρῶν ἐγήγερται· πολλὰς γὰρ
I-believe that also Christ from the-dead has-been-raised many for
ἔχω τὰς περὶ τούτου μαρτυρίας, ἔκ τε τῶν θείων Γραφῶν,
I-have the about this testimonies from both the divine Scriptures
καὶ ἐκ τῆς μέχρι σήμερον τοῦ ἀναστάντος ἐνεργείας·
and from the until today of-the(-one) risen operation
τοῦ μόνου μὲν καταβάντος εἰς ᾅδην, πολλοστοῦ δὲ
of-the(-one) alone indeed having-gone-down into Hades in-great-company but
ἀναβάντος. Κατῆλθε γὰρ εἰς τὸν θάνατον, καὶ πολλὰ
having-come-up he-went-down for into the death and many
σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη δι᾽ αὐτοῦ.
bodies of-the fallen-asleep saints were-raised through him
19 Ἐξεπλάγη ὁ θάνατος θεωρήσας καινόν τινα κατελθόντα
was-astounded the death having-beheld new some(-one) having-gone-down
εἰς ᾅδην, δεσμοῖς τοῖς αὐτόθι μὴ κατεχόμενον· Τίνος
into Hades by-bonds the(-ones) there not held for-what
ἕνεκεν, ὦ πυλωροὶ ᾅδου, τοῦτον ἰδόντες ἐπτήξασθε; τίς
cause O gatekeepers of-Hades this(-one) having-seen did-you-cower who
ὁ κατέχων ὑμᾶς ἀσυνήθης φόβος; Ἔφυγεν ὁ θάνατος,
the holding you unaccustomed fear fled the death
καὶ φυγὴ τὴν δειλίαν ἠλέγχετο. Προσέτρεχον οἱ ἅγιοι
and by-flight the cowardice was-proved ran-to(-him) the holy
προφῆται, καὶ Μωϋσῆς ὁ νομοθέτης, καὶ Ἀβραὰμ, καὶ
prophets and Moses the lawgiver and Abraham and
Ἰσαὰκ, καὶ Ἰακώβ· Δαβίδ τε καὶ Σαμουὴλ, καὶ Ἡσαΐας
Isaac and Jacob David both and Samuel and Isaiah
καὶ ὁ βαπτιστὴς Ἰωάννης, ὁ λέγων καὶ μαρτυρῶν· Σὺ
and the Baptist John the(-one) saying and testifying you
εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Ἐλυτροῦντο
are the(-one) coming or another do-we-expect were-redeemed

πάντες οἱ δίκαιοι, οὓς κατέπιεν ὁ θάνατος· ἔδει γὰρ
all the just whom swallowed the death it-was-needful for
τὸν κηρυχθέντα βασιλέα τῶν καλῶν κηρύκων γενέσθαι
the proclaimed king of-the good heralds to-become
λυτρωτήν. Εἶτα ἕκαστος τῶν δικαίων ἔλεγε· Ποῦ σου,
redeemer then each of-the just said where your
θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον; ἐλυτρώσατο
O-death the victory where your O-Hades the sting redeemed
γὰρ ἡμᾶς ὁ νικοποιός.
for us the victory-maker
Τούτου τοῦ Σωτῆρος ἡμῶν τὸν τύπον ἐτέλει ὁ προφήτης 20
of-this the Savior our the type fulfilled the prophet
Ἰωνᾶς, ἐκ κοιλίας κήτους προσευχόμενος καὶ λέγων·
Jonah from belly of-sea-monster praying and saying
Ἐβόησα ἐν θλίψει μου, καὶ ἐξῆς, ἐκ κοιλίας ᾅδου. Καὶ
I-cried in affliction my and next from belly of-Hades and
μὴν ἐν τῷ κήτει ἦν· ἀλλ᾽ ἐν τῷ κήτει ὤν, ἐν τῷ
indeed in the sea-monster he-was but in the sea-monster being in —
ᾅδῃ ἑαυτὸν εἶναι λέγει· τύπος γὰρ ἦν Χριστοῦ, τοῦ
in-Hades himself to-be he-says type for he-was of-Christ the(-one)
μέλλοντος εἰς ᾅδην καταβαίνειν· καὶ μετ᾽ ὀλίγα φησὶν
about into Hades to-go-down and after a-little he-says
ἐκ προσώπου τοῦ Χριστοῦ, λευκότατα προφητεύων· Ἔδυ
from the-person — of-Christ most-clearly prophesying sank
ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. Καὶ μὴν ἐν γαστρὶ
the head my into clefts of-mountains and indeed in belly
κήτους ἦν· ποῖα οὖν ὄρη σε ἔχει; Ἀλλ᾽ οἶδα, φησὶν,
of-sea-monster he-was what then mountains you hold but I-know he-says
ὅτι τύπον ἔχω τοῦ μέλλοντος ἐν τῷ λαξευτῷ μνήματι
that type I-have of-the(-one) about in the hewn tomb
τῆς πέτρας τίθεσθαι. Καὶ ἐν τῇ θαλάσσῃ ὢν Ἰωνᾶς, λέγει·
of-the rock to-be-laid and in the sea being Jonah says

Κατέβην εἰς γῆν· ἐπειδὴ τύπον ἔφερε τοῦ Χριστοῦ τοῦ
I-went-down into earth since type he-bore — of-Christ the(-one)
καταβάντος εἰς τὴν καρδίαν τῆς γῆς. Καὶ προορῶν περὶ τῶν
having-gone-down into the heart of-the earth and foreseeing about the
Ἰουδαίων, ἀναπειθόντων τοὺς στρατιώτας ψεύσασθαι, καὶ
Jews persuading the soldiers to-lie and
λεγόντων, Εἴπατε, ὅτι ἔκλεψαν αὐτὸν, φησί· Φυλασσόμενοι
saying say that they-stole him he-says guarding
μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον. Ἦλθε γὰρ
vain-things and false mercy their they-forsook came for
ὁ ἐλεῶν αὐτοὺς, καὶ ἐσταυρώθη, καὶ ἀνέστη, δοὺς
the(-one) pitying them and was-crucified and rose having-given
ἑαυτοῦ τὸ αἷμα τὸ τίμιον ὑπὲρ Ἰουδαίων τε καὶ ἐθνῶν·
his-own the blood the precious on-behalf-of Jews both and gentiles
κἀκεῖνοι λέγουσιν, Εἴπατε, ὅτι ἔκλεψαν αὐτὸν, φυλασσόμενοι
and-they say say that they-stole him guarding
μάταια καὶ ψευδῆ. Περὶ δὲ τῆς ἀναστάσεως αὐτοῦ καὶ
vain-things and false about and the resurrection his also
Ἡσαΐας φησίν· Ὁ ἀναγαγὼν ἐκ γῆς τὸν ποιμένα
Isaiah says the(-one) having-brought-up from earth the shepherd
τῶν προβάτων, τὸν μέγαν· προσέθηκεν τὸν μέγαν, ἵνα
of-the sheep the great he-added the great that
μὴ τοῖς προλαβοῦσι ποιμέσιν ἰσότιμος εἶναι νομισθῇ.
not to-the previous shepherds equal-in-honor to-be he-may-be-thought
21 Ἐχόντων τοίνυν ἡμῶν τὰς προφητείας, ἡ πίστις παρ᾽ ἡμῖν
having therefore we the prophecies the faith with us
ἔστω. Πιπτέτωσαν οἱ πίπτοντες ἐξ ἀπιστίας, ἐπειδὴ
let-be let-fall the(-ones) falling from unbelief since
θέλουσι· σὺ δὲ ἕστηκας ἐπὶ τὴν πέτραν τῆς πίστεως
they-wish you but stand on the rock of-the faith
τῆς περὶ τῆς ἀναστάσεως· μή ποτέ σέ τις αἱρετικὸς
the(-faith) about the resurrection lest ever you any heretic

πείσῃ δυσφημῆσαι τὴν ἀνάστασιν. Μέχρι γὰρ σήμερον
persuade to-slander the resurrection until for today
Μανιχαῖοι λέγουσι, φαντασιώδη καὶ οὐκ ἀληθῆ τοῦ
Manichees say phantasmal and not true of-the
Σωτῆρος τὴν ἀνάστασιν γεγονέναι, παρακούοντες Παύλου,
Savior the resurrection to-have-happened mishearing Paul
τοῦ γράφοντος· Τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ
the(-one) writing the(-one) born of seed of-David
κατὰ σάρκα· καὶ πάλιν ἑξῆς λέγοντος· Ἐξ ἀναστάσεως
according-to flesh and again next saying from resurrection
νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· καὶ πάλιν
of-the-dead of-Jesus Christ the Lord our and again
ἀποτείνει πρὸς αὐτοὺς, καὶ λέγει· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ
he-aims at them and says not say in the heart
σου· Τίς ἀναβήσεται εἰς οὐρανὸν, ἢ τίς καταβήσεται εἰς
your who will-ascend into heaven or who will-descend into
τὴν ἄβυσσον· τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν; καὶ
the abyss that-is Christ from the-dead to-bring-up and
ὁμοίως ἀσφαλιζόμενος, ἀλλαχοῦ πάλιν ἔγραφε· Μνημονεύετε
likewise securing elsewhere again he-wrote remember
Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν· καὶ πάλιν· Εἰ δὲ
Jesus Christ raised from the-dead and again if but
Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ
Christ not has-been-raised empty then the preaching our empty
καὶ ἡ πίστις ἡμῶν· εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ
also the faith our we-are-found and also false-witnesses —
Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἤγειρεν τὸν
of-God because we-testified against — God that he-raised —
Χριστὸν, ὃν οὐκ ἤγειρεν. Ἀλλ' ἑξῆς φησι· Νῦν δὲ Χριστὸς
Christ whom not he-raised but next he-says now but Christ
ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων·
has-been-raised from the-dead firstfruits of-the(-ones) fallen-asleep

καὶ ὤφθη Κηφᾷ, ἔπειτα τοῖς δώδεκα· εἰ γὰρ τῷ ἑνὶ
and he-appeared to-Cephas then to-the twelve if for the one
μάρτυρι οὐ πιστεύεις, ἔχεις δώδεκα μάρτυρας. Ἔπειτα
witness not you-believe you-have twelve witnesses then
ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ. Εἰ τοῖς
he-appeared to-over five-hundred brothers at-once if the
δώδεκα ἀπιστοῦσι, τοὺς πεντακοσίους δεχέσθωσαν. Ἔπειτα
twelve they-disbelieve the five-hundred let-them-receive then
ὤφθη Ἰακώβῳ, τῷ ἑαυτοῦ μὲν ἀδελφῷ, ἐπισκόπῳ δὲ
he-appeared to-James the his-own indeed brother bishop and
πρώτῳ τῆς παροικίας ταύτης. Τοιούτου τοίνυν ἐπισκόπου
first of-the diocese this such therefore bishop
πρωτοτύπως ἰδόντος ἀναστάντα τὸν Χριστὸν Ἰησοῦν,
first having-seen risen — Christ Jesus
σὺ ὁ τούτου μαθητὴς μὴ ἀπιστήσῃς. Ἀλλὰ λέγεις, ὅτι
you the of-him disciple not disbelieve but you-say that
ὁ ἀδελφὸς Ἰάκωβος πρὸς χάριν ἐμαρτύρησεν. Ἔπειτα
the brother James for favor testified then
καὶ ἐμοὶ ὤφθη Παύλῳ, τῷ ἐχθρῷ. Ποία δὲ παρὰ
also to-me he-appeared Paul the enemy what-kind and from
ἐχθροῦ μαρτυρία κηρύσσοντος ἀμφιβάλλεται; Ὁ πρότερον
enemy testimony proclaiming is-doubted the formerly
διώκτης, νῦν εὐαγγελίζομαι τὴν ἀνάστασιν.
persecutor now I-preach the resurrection

22 Πολλοὶ μάρτυρές εἰσιν τῆς τοῦ Σωτῆρος ἀναστάσεως.
many witnesses there-are of-the of-the Savior resurrection
Νὺξ μὲν, καὶ πανσέληνον φῶς· ἑκκαιδεκάτη γὰρ ἡ νὺξ
night indeed and full-moon light sixteenth for the night
ἦν. Πέτρα τοῦ μνήματος ἡ ὑποδεξαμένη, καὶ ὁ λίθος
was rock of-the tomb the(-one) having-received and the stone
ἀντικαταστήσεται εἰς πρόσωπον Ἰουδαίων· αὐτὸς γὰρ
will-stand-against to face of-Jews it for

εἶδε τὸν Κύριον, καὶ ὁ λίθος ὁ τότε ἀποκυλισθεὶς
saw the Lord and the stone the(-one) then rolled-away
αὐτὸς μαρτυρεῖ τῇ ἀναστάσει, μέχρι σήμερον κείμενος.
it testifies to-the resurrection until today lying
Ἄγγελοι Θεοῦ παρόντες ἐμαρτύρησαν τῇ ἀναστάσει τοῦ
angels of-God being-present testified to-the resurrection of-the
Μονογενοῦς. Πέτρος καὶ Ἰωάννης, καὶ Θωμᾶς, καὶ οἱ λοιποὶ
Only-begotten Peter and John and Thomas and the remaining
πάντες ἀπόστολοι· οἱ μὲν ἐπὶ τὸ μνῆμα δραμόντες, καὶ
all apostles the(-ones) indeed to the tomb having-run and
τὰ ὀθόνια τῆς ταφῆς, οἷς ἐνετυλίχθη πρότερον, αὐτόθι
the linen-cloths of-the burial in-which he-was-wrapped before there
κείμενα μετὰ τὴν ἀνάστασιν ἰδόντες· οἱ δὲ τὰς χεῖρας
lying after the resurrection having-seen the(-ones) and the hands
αὐτοῦ, καὶ τοὺς πόδας ψηλαφήσαντες, καὶ τοὺς τύπους
his and the feet having-handled and the marks
τῶν ἥλων θεωρήσαντες· ὁμοῦ δὲ πάντες τοῦ σωτηριώδους
of-the nails having-beheld together and all of-the saving
ἐμφυσήματος ἀπολαύσαντες, καὶ τοῦ συγχωρεῖν ἁμαρτίας
breathing-upon having-enjoyed and of-the to-forgive sins
ἐν δυνάμει Πνεύματος ἁγίου καταξιωθέντες. Γυναῖκες,
in power of-Spirit holy deemed-worthy women
αἱ κρατήσασαι τοὺς πόδας· τοῦ τε σεισμοῦ τὸ μέγεθος,
the(-ones) having-held the feet of-the both earthquake the greatness
καὶ τοῦ παρόντος ἀγγέλου τὴν λαμπηδόνα θεωρήσασαι·
and of-the present angel the brightness having-beheld
καὶ τὰ ὀθόνια, ἃ περιβαλλόμενος κατέλιπεν ἀναστάς. Οἱ
and the linen-cloths which being-wrapped-in he-left having-risen the
στρατιῶται, καὶ τὸ ἀργύριον τὸ δοθέν. Ὁ τόπος αὐτὸς
soldiers and the silver the(-silver) given the place itself
ἔτι φαινόμενος· καὶ ὁ τῆς ἁγίας Ἐκκλησίας οὗτος οἶκος,
still appearing and the of-the holy Church this house

ὁ τῇ φιλοχρίστῳ προαιρέσει τοῦ ἐπὶ τῆς μακαρίας
the(-one) by-the Christ-loving choice of-the of the blessed
μνήμης, Κωνσταντίνου τοῦ βασιλέως οἰκοδομηθεὶς τε καὶ,
memory Constantine the emperor built both and
ὡς ὁρᾷς, οὕτως φαιδρυνθείς.
as you-see so brightened

23 Μαρτυρεῖ τῇ ἀναστάσει τοῦ Ἰησοῦ, καὶ ἡ ἐν τῷ
testifies to-the resurrection — of-Jesus also the in the
ὀνόματι αὐτοῦ ἐκ νεκρῶν ἐγερθεῖσα Ταβιθά. Πῶς γὰρ
name his from the-dead raised Tabitha how for
ἀπιστηθήσεται Χριστὸς ἀναστὰς, ὅπου γε καὶ τὸ ὄνομα
will-be-disbelieved Christ having-risen where indeed even the name
αὐτοῦ νεκροὺς ἤγειρε; Μαρτυρεῖ τῇ ἀναστάσει τοῦ Ἰησοῦ
his dead raised testifies to-the resurrection — of-Jesus
καὶ ἡ θάλασσα, καθὼς πρότερον ἤκουσας· μαρτυρεῖ καὶ
also the sea as before you-heard testifies also
ἡ τῶν ἰχθύων ἄγρα, καὶ ἡ ἀνθρακιὰ ἡ κειμένη, καὶ
the of-the fish catch and the fire-of-coals the(-one) lying and
τὸ ὀψάριον τὸ ἐπικείμενον· μαρτυρεῖ καὶ Πέτρος, ὁ
the fish the(-one) laid-on testifies also Peter the(-one)
πρότερον μὲν τρὶς ἀρνησάμενος, τὸ δὲ τρίτον ὁμολογήσας,
before indeed thrice having-denied the and third-time having-confessed
καὶ ποιμαίνειν τὰ νοητὰ πρόβατα προσταχθείς. Ἕστηκε
and to-shepherd the spiritual sheep commanded stands
μέχρι σήμερον ὁ Ἐλαιὼν, τὸν ἐπὶ νεφέλης ἀναβάντα
until today — Olivet the(-one) on cloud having-ascended
τοῖς τῶν πιστῶν ὀφθαλμοῖς μονονουχὶ δεικνύων μέχρι
to-the of-the faithful eyes all-but showing until
σήμερον, καὶ τὴν οὐράνιον τῆς ἀνόδου πύλην. Εἰς μὲν
today and the heavenly of-the ascent gate into indeed
γὰρ Βηθλεὲμ ἐξ οὐρανῶν κατελήλυθεν· ἐκ δὲ τοῦ ὄρους
for Bethlehem from heavens he-has-come-down from and the mount

τῶν Ἐλαιῶν εἰς οὐρανοὺς ἀνελήλυθεν· ἐκεῖθεν μὲν εἰς
of-the Olives into heavens he-has-gone-up from-there indeed among
ἀνθρώπους τῶν ἀγώνων ἀρξάμενος, ἐνταῦθα δὲ ἐπὶ τοῖς
men the contests having-begun here and for the
ἀγῶσι στεφανούμενος. Πολλοὺς οὖν ἔχεις τοὺς μάρτυρας·
contests being-crowned many then you-have the witnesses
ἔχεις ἀναστάσεως τὸν τόπον τοῦτον· ἔχεις καὶ τὸν ἐξ
you-have of-resurrection the place this you-have also the from
ἀνατολῆς ἡμῶν τόπον τῆς ἀναβάσεως· ἔχεις καὶ μάρτυρας,
east our place of-the ascension you-have also witnesses
τοὺς ἐκεῖ μαρτυρήσαντας ἀγγέλους, καὶ τὴν νεφέλην
the(-ones) there having-testified angels and the cloud
ἣς ἐπέβη, καὶ τοὺς ἐκεῖθεν κατελθόντας μαθητάς.
which he-mounted and the(-ones) from-there having-come-down disciples
Καὶ ἡ μὲν ἀκολουθία τῆς διδασκαλίας τῆς πίστεως, 24
and the indeed sequence of-the teaching of-the faith
προέτρεπεν εἰπεῖν καὶ τὰ περὶ τῆς ἀναλήψεως· ἀλλ᾽
urged to-say also the(-things) about the ascension but
ἡ τοῦ Θεοῦ χάρις ᾠκονόμησε πληρέστατά σε ἀκοῦσαι,
the — of-God grace arranged most-fully you to-hear
κατὰ τὴν ἡμετέραν ἀσθένειαν, τῇ χθὲς ἡμέρᾳ κατὰ
according-to the our weakness on-the yesterday day on
τὴν Κυριακὴν κατ᾽ οἰκονομίαν τῆς θείας χάριτος, ἐν τῇ
the Lord's(-day) by dispensation of-the divine grace in the
συνάξει τῆς τῶν ἀναγνωσμάτων ἀκολουθίας, τὰ περὶ
assembly of-the of-the readings sequence the(-things) about
τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ Σωτῆρος ἡμῶν περιεχούσης.
the into heavens ascent of-the Savior our containing
Ἐλέγετο δὲ τὰ λεγόμενα, μάλιστα μὲν διὰ πάντας,
were-said and the(-things) said especially indeed because-of all
καὶ διὰ τὸ τῶν πιστῶν ὁμοῦ πλῆθος, ἐξαιρέτως δὲ
and because-of the of-the faithful together multitude exceptionally but

διὰ σέ· ζητεῖται δὲ εἰ προσέσχες τοῖς λεγομένοις.
because-of you it-is-asked and whether you-attended to-the(-things) said
Οἶδας γὰρ ὅτι ἡ ἀκολουθία τῆς πίστεως διδάσκει σε
you-know for that the sequence of-the faith teaches you
πιστεύειν εἰς τὸν ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· καὶ
to-believe in the(-one) having-risen on-the third day and
ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθίσαντα ἐκ δεξιῶν
having-ascended into the heavens and having-sat at right-hand
τοῦ Πατρός. Μάλιστα μὲν οὖν μνημονεύειν σε νομίζω τῆς
of-the Father especially indeed then to-remember you I-think of-the
ἐξηγήσεως· πλὴν ἐν παραδρομῇ καὶ νῦν ὑπομιμνήσκω σε
exposition however in passing also now I-remind you
τῶν εἰρημένων. Μνημόνευε τοῦ γεγραμμένου σαφῶς
of-the(-things) said remember the(-thing) written clearly
ἐν Ψαλμοῖς· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Μνημόνευε, ὅτι
in Psalms went-up — God with shouting remember that
καὶ αἱ θεῖαι δυνάμεις ἔλεγον πρὸς ἀλλήλας· Ἄρατε πύλας,
also the divine powers said to one-another lift-up gates
οἱ ἄρχοντες, ὑμῶν, καὶ τὰ ἑξῆς. Μνημόνευε καὶ τοῦ ψαλμοῦ
O rulers your and the next remember also the psalm
λέγοντος· Ἀνέβη εἰς ὕψος, ἠχμαλώτευσεν αἰχμαλωσίαν.
saying he-went-up to height he-led-captive captivity
Μνημόνευε τοῦ προφήτου εἰπόντος· Ὁ οἰκοδομῶν εἰς
remember the prophet having-said the(-one) building into
τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ· καὶ τὰ λοιπὰ, ὅσα
the heaven the ascent his and the rest as-many-as
εἴρητο χθὲς διὰ τὰς τῶν Ἰουδαίων ἀντιλογίας.
had-been-said yesterday because-of the of-the Jews objections
25 Ὅταν γὰρ ὡς ἀδυνάτῳ τῇ τοῦ Σωτῆρος ἀναβάσει
when for as impossible the of-the Savior ascent
ἀντιλέγωσι, μνημόνευε τῶν περὶ τῆς μεταθέσεως τοῦ
they-object remember the(-things) about the translation —

Ἀββακοὺμ εἰρημένων. Εἰ γὰρ ὁ Ἀββακοὺμ ὑπὸ ἀγγέλου
of-Habakkuk said if for — Habakkuk by angel
μετετέθη, βασταχθεὶς ἀπὸ τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ·
was-translated carried by the hair of-the head his
πολὺ μᾶλλον ὁ καὶ προφητῶν καὶ ἀγγέλων Δεσπότης, ἐξ
much rather the both of-prophets and of-angels Master from
ὄρους Ἐλαιῶν νεφέλη ἐπιβὰς, οἰκείᾳ δυνάμει ποιεῖσθαι
mount of-Olives a-cloud having-mounted by-his-own power to-make
τὴν εἰς οὐρανοὺς ἄνοδον δυνατώτερος ἦν. Καὶ τὰ μὲν
the into heavens ascent more-able was and the(-things) indeed
ὅμοια μνημόνευε τῶν θαυμάτων, τὴν δὲ ὑπεροχὴν τήρει
like remember of-the wonders the but preeminence keep
τῷ Δεσπότῃ τῷ θαυματοποιῷ· οἱ μὲν γὰρ ἐβαστάζοντο,
for-the Master the wonder-worker they indeed for were-carried
ὁ δὲ βαστάζει τὰ πάντα. Μνημόνευε, ὅτι Ἐνὼχ μετετέθη,
he but carries the all-things remember that Enoch was-translated
ἀλλ᾽ Ἰησοῦς ἀνῆλθε. Μνημόνευε τῶν περὶ Ἠλίαν
but Jesus went-up remember the(-things) about Elijah
τῶν χθὲς εἰρημένων· ὅτι Ἠλίας μὲν ἐν ἅρματι πυρὸς
the(-things) yesterday said that Elijah indeed in chariot of-fire
ἀνελήφθη· Χριστοῦ δὲ τὸ ἅρμα, μυριοπλάσιον χιλιάδες
was-taken-up of-Christ but the chariot ten-thousandfold thousands
εὐφημούντων· καὶ ὅτι Ἠλίας μὲν ἀνελήφθη πρὸς ἀνατολὰς
praising and that Elijah indeed was-taken-up toward east
τοῦ Ἰορδάνου, Χριστὸς δὲ πρὸς ἀνατολὰς τοῦ χειμάῤῥου
of-the Jordan Christ but toward east of-the torrent
Κέδρων ἀνῆλθε· καὶ ὅτι ἐκεῖνος ὡς εἰς τὸν οὐρανὸν,
οὐδ᾽ οὐ μὴ γένηται. Ἀλλὰ τῷ Θεῷ χάρις τῷ τὸ μέγεθος
nor not — will-be but — to-God thanks the(-one) the greatness
τῆς θλίψεως εἰς ὀλίγας ἡμέρας περιγράψαντι. Λέγει γάρ·
of-the affliction into few days having-limited he-says for
Διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι
because-of but the elect will-be-cut-short the days
ἐκεῖναι. Βασιλεύσει δὲ ὁ Ἀντίχριστος τρία καὶ ἥμισυ ἔτη
those will-reign and the Antichrist three and half years
μόνα. Οὐκ ἐξ ἀποκρύφων λέγομεν, ἀλλ᾽ ἐκ τοῦ Δανιήλ·
only not from apocrypha we-speak but from — Daniel
φησὶ γάρ· Καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ, καὶ
he-says for and it-will-be-given into hand his until time and
καιρῶν, καὶ ἥμισυ καιροῦ. Καιρὸς μὲν, ὁ εἷς ἐνιαυτὸς, ἐν
times and half of-time time indeed the one year in
ᾧ τέως αὔξει ἡ παρουσία αὐτοῦ· καιροὶ δὲ, τὰ ἐπίλοιπα
which meanwhile increases the coming his times and the remaining
δύο ἔτη τῆς παρανομίας, εἰς τρία ὁμοῦ συναριθμούμενα·
two years of-the lawlessness into three together counted
καὶ τὸ ἥμισυ τοῦ καιροῦ, ἡ ἐξέμηνος. Καὶ πάλιν ἀλλαχοῦ
and the half of-the time the six-months and again elsewhere

τὸ αὐτό φησιν ὁ Δανιήλ· Καὶ ὤμοσεν ἐν τῷ Ζῶντι εἰς
the same says — Daniel and he-swore by the Living(-One) for
τὸν αἰῶνα, ὅτι εἰς καιρὸν, καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ.
the age that for time and times and half of-time
Τάχα δέ τινες εἰς τοῦτο ἐξέλαβον καὶ τὸ ἑξῆς· Ἡμέραι
perhaps and some for this took also the next days
χίλιαι διακόσιαι ἐννενήκοντα. καὶ τὸ, Μακάριος ὁ
thousand two-hundred ninety and the blessed the(-one)
ὑπομένων, καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας
enduring and having-reached to days thousand three-hundred
τριάκοντα πέντε. Διὰ τοῦτο δεῖ παρακαλύπτεσθαι
thirty five because-of this it-is-needful to-hide
καὶ φεύγειν· ἴσως γὰρ οὐ μὴ τελέσωμεν τὰς πόλεις τοῦ
and to-flee perhaps for not — we-shall-finish the cities —
Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου.
of-Israel until — comes the Son of-the man

17 Τίς ἄρα μακάριος, ὁ ὑπὲρ Χριστοῦ μετ' εὐσεβείας
who then blessed the(-one) on-behalf-of Christ with piety
μαρτυρῶν τότε; ὑπὲρ γὰρ πάντας μάρτυρας ἐγώ φημι εἶναι
bearing-witness then above for all martyrs I say to-be
τοὺς τότε μάρτυρας. Οἱ μὲν γὰρ πρὸ τούτου, μόνοις
the then martyrs the(-ones) indeed for before this with-only
ἀνθρώποις ἐπάλαισαν· οἱ δὲ ἐπὶ τοῦ Ἀντιχρίστου,
men wrestled the(-ones) but under the Antichrist
αὐτῷ Σατανᾷ αὐτοπροσώπως πολεμήσουσι· καὶ οἱ μὲν
himself with-Satan in-person will-war and the indeed
πρότερον διώκοντες βασιλεῖς, ἐφόνευον μόνον, νεκροὺς
formerly persecuting kings murdered only dead
δὲ οὐ προσεποιοῦντο ἐγείρειν, οὐδὲ σημείων καὶ τεράτων
but not pretended to-raise nor of-signs and wonders
φαντασίας ἐδείκνυον· ὧδε δὲ καὶ τοῦ φόβου καὶ τῆς ἀπάτης
phantasms displayed here but both of-the fear and of-the deceit

προτροπὴ κακὴ, ὥστε πλανᾶσθαι εἰ δυνατὸν καὶ τοὺς
incitement evil so-that to-be-led-astray if possible even the
ἐκλεκτούς. Μή ποτε εἰς καρδίαν ἀναβῇ τινος τῶν τότε·
elect lest ever into heart it-rise of-anyone of-the(-ones) then
Τί πλέον ὁ Χριστὸς ἐποίησεν; ἐκ ποίας γὰρ δυνάμεως
what more — Christ did from what-kind-of for power
οὗτος ἐργάζεται ταῦτα; Εἰ μὴ Θεὸς ἤθελεν, οὐκ ἂν
this(-one) works these-things if not God willed not —
συνεχώρησεν. Ἀσφαλίζεταί σε, καὶ προλέγει ὁ Ἀπόστολος·
he-would-have-permitted secures you and foretells the Apostle
Καὶ διὰ τοῦτο πέμπει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης
and because-of this sends them — God operation of-error
(τὸ δὲ, πέμπει, ἀντὶ τοῦ, συγχωρεῖ γίνεσθαι), οὐχ ἵνα
(the and sends instead-of the permits to-happen) not that
ἀπολογήσωνται, ἀλλ', ἵνα κατακριθῶσι. Διά τί; Οἱ
they-may-make-defense but that they-may-be-condemned for what the(-ones)
μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, τοῦτ' ἔστι τῷ ἀληθινῷ
not having-believed the truth that is the true
Χριστῷ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ, τοῦτ' ἔστι τῷ
Christ but having-delighted-in the unrighteousness that is the
Ἀντιχρίστῳ. Συγχωρεῖ δὲ ταῦτα ὁ Θεὸς ἔν τε τοῖς κατὰ
Antichrist permits and these-things — God in both the in
καιρὸν διωγμοῖς καὶ τότε, οὐκ ἀδυνατῶν κωλύειν, ἀλλὰ
season persecutions and then not being-unable to-hinder but
δι' ὑπομονῆς συνήθως στεφανῶν τοὺς οἰκείους ἀθλητὰς,
through endurance as-usual crowning the own athletes
παραπλησίως τοῖς ἑαυτοῦ προφήταις καὶ ἀποστόλοις· ἵνα
like the his-own prophets and apostles that
πρὸς ὀλίγον χρόνον καμόντες, τὴν αἰώνιον κληρονομήσωσι
for little time having-toiled the eternal they-may-inherit
τῶν οὐρανῶν βασιλείαν, καθὼς Δανιὴλ φησι· Καὶ ἐν τῷ
of-the heavens kingdom as Daniel says and in the

καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς, ὁ γεγραμμένος
time that will-be-saved the people your all the(-one) written
ἐν τῇ βίβλῳ (δῆλον δὲ, ὅτι τῆς ζωῆς). Καὶ πολλοὶ
in the book (clear and that of-the life) and many
τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται·
of-the(-ones) sleeping in of-earth dust will-be-awakened
οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ
these to life eternal and these to reproach and
αἰσχύνην αἰώνιον. Καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς
shame eternal and the(-ones) understanding will-shine-forth as
ἡ λαμπρότης τοῦ στερεώματος· καὶ ἀπὸ τῶν δικαίων
the brightness of-the firmament and from the just
τῶν πολλῶν, ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας, καὶ ἔτι.
the many as the stars to the ages and beyond
18 Ἀσφάλιζε τοίνυν σεαυτὸν, ἄνθρωπε· ἔχεις τὰ σημεῖα τοῦ
secure therefore yourself O-man you-have the signs of-the
Ἀντιχρίστου· καὶ μὴ μόνος μνημόνευε τούτων, ἀλλὰ καὶ
Antichrist and not alone remember them but also
ἀφθόνως πᾶσι μεταδίδου. Εἰ τέκνον ἔχεις κατὰ σάρκα,
ungrudgingly to-all impart if child you-have according-to flesh
τοῦτο ἤδη νουθέτει· καὶ εἰ διὰ κατηχήσεως ἐγέννησάς
this now admonish and if through catechesis you-begot
τινα, καὶ τοῦτον προασφαλίζου, ἵνα μὴ τὸν ψευδῆ
someone also this(-one) secure-beforehand that not the false
δέξηται ὡς ἀληθῆ. Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται
he-may-receive as true the for mystery already works
τῆς ἀνομίας. Φοβοῦσί με οἱ πόλεμοι τῶν ἐθνῶν, φοβεῖ
of-the lawlessness frighten me the wars of-the nations frighten
με τὰ σχίσματα τῶν Ἐκκλησιῶν, φοβεῖ με ἡ μισαδελφία
me the schisms of-the Churches frightens me the hatred-of-brothers
τῶν ἀδελφῶν. Καὶ λεγέσθω μὲν ταῦτα· μὴ γένοιτο δὲ
of-the brothers and let-be-said indeed these-things not may-it-be but

ἵνα ἐφ᾽ ἡμῶν πληρωθῇ· πλὴν ἀσφαλιζώμεθα. Καὶ
that in our(-time) it-may-be-fulfilled nevertheless let-us-secure-ourselves and
περὶ μὲν τοῦ Ἀντιχρίστου ταῦτα.
about indeed the Antichrist these-things
Ἐκδεχώμεθα δὲ καὶ προσδοκῶμεν τὸν Κύριον ἐκ τῶν 19
let-us-wait-for and also let-us-expect the Lord from the
οὐρανῶν ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Σάλπιγγες ἀγγελικαὶ
heavens coming on the clouds trumpets angelic
τότε ἠχοῦσιν· οἱ νεκροὶ ἐν Χριστῷ, πρῶτον ἐγείρονται· οἱ
then sound the dead in Christ first rise the(-ones)
ζῶντες εὐλαβεῖς, ἐν νεφέλαις ἁρπάζονται, ἔπαθλον τῶν
living pious in clouds are-caught-up prize of-the
καμάτων λαμβάνοντες τὸ ὑπὲρ ἄνθρωπον τιμηθῆναι, ἐπειδὴ
labors receiving the beyond man to-be-honored since
καὶ ὑπὲρ ἄνθρωπον ἠγωνίσαντο· καθὼς Παῦλος ὁ ἀπόστολος
also beyond man they-contended as Paul the apostle
γράφων φησί· Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν
writing says that himself the Lord with command with
φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπὸ
voice of-archangel and with trumpet of-God will-descend from
οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον·
heaven and the dead in Christ will-rise first
ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν
then we the living the(-ones) remaining together with
αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ
them shall-be-caught-up in clouds for meeting of-the
Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.
Lord in air and so always with Lord we-shall-be
Ἤδει ταύτην τὴν τοῦ Κυρίου παρουσίαν, καὶ τὴν τοῦ 20
knew this the of-the Lord coming and the of-the
κόσμου συντέλειαν ὁ Ἐκκλησιαστὴς, λέγων· Εὐφραίνου,
world consummation the Ecclesiastes saying rejoice

νεανίσκε, ἐκ νεότητός σου· καὶ ἑξῆς· Καὶ ἀπόστησον
young-man from youth your and next and remove
θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ
wrath from heart your and put-away wickedness from
σαρκός σου, καὶ μνήσθητι τοῦ κτίσαντός σε· ἕως οὗ
flesh your and remember the(-one) having-created you until —
μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας· ἕως οὗ μὴ σκοτισθῇ
not come the days of-the evil until — not be-darkened
ὁ ἥλιος, καὶ τὸ φῶς, καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες· καὶ
the sun and the light and the moon and the stars and
σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς (τὴν ὁρατικὴν
will-be-darkened the(-ones) looking in the holes (the seeing
δύναμιν αἰνισσόμενος)· ἕως οὗ μὴ ἀνατραπῇ τὸ σχοινίον
power hinting) until — not be-overturned the cord
τοῦ ἀργυρίου (τῶν ἄστρων τὴν συμπλοκὴν διδάσκων·
of-the silver (of-the stars the interweaving teaching
ἀργυροειδὴς γὰρ ἡ ὄψις), καὶ συντριβῇ τὸ ἀνθέμιον τοῦ
silver-like for the sight) and be-crushed the flower of-the
χρυσίου (τὸν χρυσοειδῆ οὕτως ἥλιον αἰνισσόμενος· ἡ γὰρ
gold (the golden-like thus sun hinting the for
ἄνθεμις γνώριμός ἐστι βοτάνη, πολλὰς ἔχουσα πέριξ
camomile well-known is herb many having round-about
ἀκτινοειδεῖς φυλλάδων ἐκφύσεις). Καὶ ἀναστήσονται εἰς
ray-like of-leaves outgrowths) and they-will-rise at
φωνὴν τοῦ στρουθίου, καὶ γε ἀπὸ τοῦ ὕψους ὄψονται· καὶ
sound of-the sparrow and indeed from the height they-will-see and
θάμβοι ἐν τῇ ὁδῷ. Τί ὄψονται; Τότε ὄψονται τὸν Υἱὸν τοῦ
terrors in the way what will-they-see then they-will-see the Son of-the
ἀνθρώπου, ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ
man coming on the clouds of-the heaven and
κόψονται φυλαὶ κατὰ φυλάς. Καὶ τί γίνεται ἐλθόντος τοῦ
will-mourn tribes by tribes and what happens having-come the

Κυρίου; Ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθήσεται ἡ ἀκρὶς,
Lord will-flower the almond and will-grow-fat the locust
καὶ διασκεδασθήσεται ἡ κάππαρις. Ὡς δὲ οἱ ἐξηγηταί
and will-be-scattered the caper as but the expositors
φασιν, ἀμύγδαλον ἀνθοῦν δηλοῖ τοῦ χειμῶνος τὸ παρελθόν.
say almond flowering shows of-the winter the past
Μέλλει δὲ τὰ σώματα ἡμῶν μετὰ τὸν χειμῶνα τότε ἀνθεῖν
is-about and the bodies our after the winter then to-flower
ἐπουράνιον ἄνθος. Καὶ παχύνεται ἡ ἀκρὶς (ἡ πτερωτὴ
heavenly flower and grows-fat the locust (the winged
ψυχὴ, τὸ σῶμα περιβαλλομένη). Καὶ διασκεδασθήσεται ἡ
soul the body putting-on) and will-be-scattered the
κάππαρις (οἱ ἀκανθώδεις παράνομοι διασκορπισθῶσι.)
caper (the thorny lawless-ones will-be-dispersed)
Βλέπεις, πῶς προλέγουσι πάντες τὴν παρουσίαν τοῦ 21
you-see how foretell all the coming of-the
Κυρίου· βλέπεις, πῶς οἴδασι τὴν φωνὴν τοῦ στρουθίου.
Lord you-see how they-know the sound of-the sparrow
Ποίαν φωνὴν, εἴδωμεν. Ὅτι αὐτὸς ὁ Κύριος ἐν
what-kind-of sound let-us-see that himself the Lord with
κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ
command with voice of-archangel and with trumpet of-God
καταβήσεται ἀπ᾽ οὐρανοῦ· Ἀρχάγγελος προσφωνεῖ, καὶ
will-descend from heaven archangel calls-out and
λέγει τοῖς πᾶσιν· Ἐγείρεσθε εἰς ἀπάντησιν τοῦ Κυρίου. Καὶ
says to-the all arise for meeting of-the Lord and
φοβερὰ ἡ κάθοδος τοῦ Δεσπότου. Ὁ Δαβὶδ φησιν· Ὁ Θεὸς
fearful the descent of-the Master — David says — God
ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν· καὶ οὐ παρασιωπήσεται.
manifestly will-come — God our and not will-keep-silence
Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς
fire before him will-burn and round him tempest

σφοδρὰ, καὶ τὰ ἑξῆς. Ἔρχεται πρὸς τὸν Πατέρα, κατὰ
violent and the next comes to the Father according-to
τὴν Γραφὴν τὴν ἀρτίως ἀναγνωσθεῖσαν, ὁ Υἱὸς τοῦ
the Scripture the(-one) just-now read the Son of-the
ἀνθρώπου ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ποταμοῦ πυρὸς
man on the clouds of-the heaven river of-fire
ἕλκοντος, δοκιμαστικοῦ τῶν ἀνθρώπων. Εἴ τις χρυσίου
drawing testing of-the men if anyone of-gold
ἔχει τὰ ἔργα, λαμπρότερος γίνεται· εἴ τις καλαμώδη ἔχει
has the works brighter becomes if anyone reed-like has
τὴν πρᾶξιν καὶ ἀνυπόστατον, κατακαίεται ὑπὸ τοῦ πυρός.
the conduct and unsubstantial is-burned-up by the fire
Καὶ ὁ μὲν Πατὴρ καθέζεται, ἔχων τὸ ἔνδυμα αὐτοῦ λευκὸν
and the indeed Father sits having the garment his white
ὡσεὶ χιών· καὶ τὴν τρίχα τῆς κεφαλῆς, ὡς ἔριον καθαρόν.
as snow and the hair of-the head as wool pure
Ἀνθρωπίνως δὲ τοῦτο εἴρηται· διὰ τί; Ἐπειδὴ βασιλεύς
humanly and this is-said for what since king
ἐστι τῶν μὴ ἐν ἁμαρτίαις μεμολυσμένων· Λευκανῶ
he-is of-the(-ones) not in sins defiled I-will-whiten
γὰρ, φησὶν, ὑμῶν τὰς ἁμαρτίας ὡς χιόνα, καὶ ὡσεὶ ἔριον·
for he-says your the sins as snow and as wool
ὅπερ ἐστὶ συγχωρήσεως ἁμαρτιῶν, ἢ καὶ ἀναμαρτησίας
which is of-forgiveness of-sins or also of-sinlessness
σημεῖον· Ἔρχεται δὲ ἐκ τῶν οὐρανῶν ὁ Κύριος ἐπὶ
sign comes and from the heavens the Lord on
νεφελῶν, ὁ ἐπὶ νεφελῶν ἀναβάς· αὐτὸς γὰρ εἴρηκε·
clouds the(-one) on clouds having-ascended he for has-said
Καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἐρχόμενον ἐπὶ τῶν
and they-will-see the Son of-the man coming on the
νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.
clouds of-the heaven with power and glory great

Ἀλλὰ ποῖον τῆς παρουσίας αὐτοῦ σημεῖόν ἐστι, μή ποτε 22
but what-kind-of of-the coming his sign is-it lest ever
τολμήσῃ δύναμις ἐναντία μιμήσασθαι; Καὶ τότε φανήσεται,
dare power opposing to-imitate and then will-appear
φησὶ, τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ.
he-says the sign of-the Son of-the man in the heaven
Σημεῖον δὲ ἀληθὲς ἰδικὸν τοῦ Χριστοῦ ἐστιν ὁ σταυρός.
sign and true proper — of-Christ is the cross
Φωτοειδοῦς σταυροῦ σημεῖον προάγει τὸν βασιλέα, δηλοῦν
of-light-form cross sign goes-before the king showing
τὸν σταυρωθέντα πρότερον· ἵνα ἰδόντες οἱ πρότερον
the(-one) crucified formerly that having-seen the formerly
ἐκκεντήσαντες καὶ ἐπιβουλεύσαντες Ἰουδαῖοι, κόψωνται
having-pierced and having-plotted Jews may-mourn
φυλαὶ κατὰ φυλὰς, λέγοντες. Οὗτός ἐστιν ὁ ῥαπισθείς·
tribes by tribes saying this is the(-one) slapped
οὗτός ἐστιν οὗ εἰς τὸ πρόσωπον ἐνέπτυσαν ἐκεῖνοι·
this is whose into the face spat those
οὗτός ἐστιν ὃν δεσμοῖς περιβεβλήκασιν· οὗτός ἐστιν
this is whom with-bonds they-have-surrounded this is
ὃν σταυρωθέντα πρότερον ἐξηυτέλισαν. Ποῦ φύγωμεν
whom crucified formerly they-despised where shall-we-flee
ἀπὸ προσώπου τῆς ὀργῆς σου; ἐροῦσιν· ἀγγελικῶν δὲ
from face of-the wrath your they-will-say angelic and
στρατιῶν περιβαλλουσῶν, οὐδαμοῦ φυγεῖν δυνήσονται.
hosts surrounding nowhere to-flee will-they-be-able
Φόβος τοῖς ἐχθροῖς, τοῦ σταυροῦ τὸ σημεῖον· καὶ χαρὰ
fear to-the enemies of-the cross the sign and joy
τοῖς φίλοις τοῖς εἰς αὐτὸν πιστεύσασιν, ἢ κηρύξασιν
to-the friends the(-ones) in him having-believed or having-preached
αὐτὸν, ἢ ὑπὲρ αὐτοῦ παθοῦσιν. Τίς ἄρα μακάριος
him or on-behalf-of him having-suffered who then blessed

τότε, ὃς φίλος Χριστοῦ εὑρεθήσεται; Οὐ καταφρονεῖ τῶν
then who friend of-Christ will-be-found not despises the
οἰκείων δούλων ὁ τοσοῦτος ἔνδοξος βασιλεὺς, ὁ ὑπὸ
own servants the so-great glorious king the(-one) by
τῶν ἀγγέλων δορυφορούμενος, ὁ τοῦ Πατρὸς σύνθρονος.
the angels escorted the of-the Father sharer-of-the-throne
Ἵνα γὰρ μὴ συμφυρῶσιν οἱ ἐκλεκτοὶ μετὰ τῶν ἐχθρῶν,
that for not may-be-mixed the elect with the enemies
ἀποστέλλει τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης,
he-sends the angels his with trumpet great
καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων
and they-will-gather the elect his from the four
ἀνέμων. Ἑνὸς τοῦ Λὼτ οὐ κατεφρόνησε· πῶς ἄρα
winds one — Lot not he-despised how then
πολλῶν δικαίων καταφρονήσει; Δεῦτε, οἱ εὐλογημένοι τοῦ
of-many just will-be-despise come the blessed of-the
Πατρός μου, ἐρεῖ τοῖς τότε νεφελώδεσιν ἅρμασιν
Father my he-will-say to-the(-ones) then on-cloudy chariots
ἐποχουμένοις, καὶ ὑπὸ ἀγγέλων συλλεχθεῖσιν.
riding and by angels gathered

23 Ἀλλ' ἐρεῖ τις τῶν παρόντων· Πένης εἰμὶ, ἢ καὶ τότε
but will-say someone of-the(-ones) present poor I-am or also then
ἴσως ἀσθενὴς ἐπὶ κλίνης εὑρεθήσομαι· ἢ γύναιον, ἐν μύλωνι
perhaps sick on bed I-shall-be-found or woman at mill
καταληφθήσομαι· μὴ ἄρα καταφρονηθῶμεν; Θάρσησον,
I-shall-be-overtaken not then shall-we-be-despised take-courage
ἄνθρωπε· ὁ κριτὴς ἀπροσωπόληπτός ἐστιν· Οὐ κατὰ
O-man the judge no-respecter-of-persons is not according-to
τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, οὐ
the glory he-will-judge nor according-to the speech will-he-convict not
προτιμᾷ λογίους ἰδιωτῶν, οὐδὲ πλουσίους πενήτων. Κἂν ἐν
he-prefers learned to-unlearned nor rich to-poor even-if in

ἀγρῷ ᾖς, λαμβάνουσί σε οἱ ἄγγελοι· μὴ νομίσῃς, ὅτι τοὺς
field you-are take you the angels not think that the
γαιούχους λαμβάνει, καὶ σὲ τὸν γεωργὸν καταλείπει. Κἂν
landowners he-takes and you the farmer leaves even-if
δοῦλος ᾖς, κἂν πένης, μηδὲν ἀγωνιάσῃς· ὁ μορφὴν
slave you-are even-if poor in-nothing be-anxious the(-one) form
δούλου λαβὼν, τῶν δούλων οὐ καταφρονεῖ. Κἂν νοσῶν
of-slave having-taken the slaves not despises even-if being-sick
κείμενος ᾖς ἐπὶ κλίνης, γέγραπται· Τότε δύο ἔσονται
lying you-are on bed it-is-written then two will-be
ἐπὶ κλίνης μιᾶς, εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. Κἂν
on bed one one is-taken and one is-left even-if
κατὰ ἀνάγκην μύλωνι παραδοθῇς, ἀνὴρ ἢ γυνή· κἂν
by necessity to-mill you-are-handed-over man or woman even-if
παῖδας ἔχῃς, καὶ τῷ μύλωνι παρεδρεύσῃς, ἀλλ᾽ οὐ παροράᾳ
children you-have and at-the mill you-sit but not overlooks
σε ὁ ἐξαγαγὼν πεπεδημένους ἐν ἀνδρείᾳ. Ὁ
you the(-one) having-brought-out the-fettered in manliness the(-one)
ἐξαγαγὼν τὸν Ἰωσὴφ εἰς βασιλείαν ἐκ δουλείας καὶ
having-brought-out — Joseph into kingdom from slavery and
φυλακῆς, καὶ σὲ λυτροῦται ἐκ τῶν θλίψεων εἰς βασιλείαν
prison also you redeems from the afflictions into kingdom
οὐρανῶν. Μόνον θάρσησον, μόνον ἔργασαι, μόνον ἀγώνισαι
of-heavens only take-courage only work only contend
προθύμως· οὐδὲν γὰρ ἀπόλλυται. Ἀναγραπτός ἐστί σου
eagerly nothing for is-lost recorded is your
πᾶσα προσευχὴ καὶ ψαλμῳδία· ἀναγραπτός ἐστι πᾶσα
every prayer and psalmody recorded is every
ἐλεημοσύνη· ἀνάγραπτός ἐστι πᾶσα νηστεία· ἀνάγραπτός
almsgiving recorded is every fast recorded
ἐστι πᾶς ὁ διαφυλαχθεὶς γάμος καλῶς· ἀνάγραπτός ἐστιν
is every the preserved marriage well recorded is

ἐγκράτεια διὰ Θεὸν τελεσθεῖσα. Τὰ πρωτεῖα δὲ τῶν
continence for-the-sake-of God accomplished the first-prizes and of-the
στεφάνων ἐν ἀναγραφαῖς ἔχει παρθενία καὶ ἁγνεία, καὶ
crowns in records holds virginity and purity and
μέλλεις λάμπειν ὡς ἄγγελος. Ἀλλ' ὥσπερ ἤκουσας ἡδέως
you-are-about to-shine as angel but just-as you-heard gladly
τὰ καλὰ, οὕτως ἄκουε πάλιν ἀδυσωπήτως τὰ ἐναντία.
the good-things so hear again unabashedly the contrary-things
Ἀναγραπτός σου ἐστὶ πᾶσα πλεονεξία· ἀνάγραπτός σου
recorded your is every covetousness recorded your
ἐστὶ πᾶσα πορνεία· ἀνάγραπτός σου πᾶσά ἐστιν ἐπιορκία,
is every fornication recorded your every is perjury
καὶ βλασφημία, καὶ φαρμακεία, καὶ κλοπὴ, καὶ φόνος.
and blasphemy and sorcery and theft and murder
Πάντα ἀναγράφεται ταῦτα λοιπὸν, ἐὰν νῦν μετὰ τὸ
all-things are-recorded these henceforth if now after the
βαπτισθῆναι τὰ αὐτὰ πράξῃς· τὰ γὰρ πρῶτα ἐξαλείφεται.
to-be-baptized the same-things you-do the for first-things are-blotted-out
24 Ὅταν δὲ ἔλθῃ, φησὶν, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ
when and comes he-says the Son of-the man in the glory
αὐτοῦ, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ. Βλέπε, ἄνθρωπε,
his and all the angels with him see O-man
ἐπὶ πόσων εἰς κριτήριον εἰσέρχῃ· πᾶν γένος ἀνθρώπων
before how-many into tribunal you-enter every race of-men
τότε παρέσται. Λόγισαι οὖν, πόσον ἐστὶ τὸ Ῥωμαίων
then will-be-present reckon then how-great is the of-Romans
φῦλον· λόγισαι, πόσα τὰ βάρβαρα τὰ νῦν ζῶντα,
tribe reckon how-many the barbarian(-tribes) the(-ones) now living
καὶ πόσα πρὸ ἑκατὸν ἐτῶν ἐτελεύτησε· λόγισαι πρὸ
and how-many before hundred years died reckon before
χιλίων ἐτῶν πόσα ἐτάφη. Λόγισαι τοὺς ἀπὸ Ἀδὰμ μέχρι
thousand years how-many were-buried reckon the(-ones) from Adam until

σήμερον· πολὺ μὲν τὸ πλῆθος, ἀλλ᾽ ἔτι μικρόν· πλείονες
today great indeed the multitude but still small more
γὰρ οἱ ἄγγελοι. Ἐννενήκοντα ἐννέα πρόβατά ἐστιν ἐκεῖνα·
for the angels ninety nine sheep are those
ἡ δὲ ἀνθρωπότης, τὸ ἓν μόνον. Πρὸς γὰρ τὸ μέγεθος
the but humanity the one only toward for the greatness
τῶν τόπων ἁπάντων, οὕτω καὶ τὸ πλῆθος τῶν οἰκητόρων
of-the places all so also the multitude of-the inhabitants
λογίζεσθαι δεῖ. Ἡ οἰκουμενικὴ γῆ κέντρον ὥσπερ ἐστὶν
to-reckon it-is-needful the inhabited earth center as-it-were is
ἐν μέσῳ τοῦ ἑνὸς οὐρανοῦ· καὶ τοσοῦτον ἔχει πλῆθος ὁ
in middle of-the one heaven and so-great has multitude the
ταύτην περιβάλλων οὐρανὸς· ὅσον ἔχει τὸ πλάτος· καὶ
it surrounding heaven as-great-as has the breadth and
οἱ οὐρανοὶ τῶν οὐρανῶν ἀνείκαστον ἔχουσι τὸν ἀριθμόν·
the heavens of-the heavens inconceivable have the number
γέγραπται δέ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ
it-is-written and thousand thousands ministered to-him and
μυρίαι μυριάδες παρειστήκεισαν αὐτῷ· οὐχ ὅτι τοσοῦτον
ten-thousand ten-thousands stood-by him not that so-great
μόνον τὸ πλῆθός ἐστιν, ἀλλ᾽ ὅτι πλέον τούτων εἰπεῖν οὐκ
only the multitude is but that more than-these to-say not
ἠδύνατο ὁ προφήτης. Πάρεστι τοίνυν ἐν τῇ κρίσει τότε
could the prophet is-present therefore in the judgment then
ὁ Θεὸς ὁ πάντων Πατὴρ, συγκαθεζομένου Ἰησοῦ Χριστοῦ,
— God the of-all Father sitting-with Jesus Christ
καὶ συμπαρόντος ἁγίου Πνεύματος. Σάλπιγξ ἀγγελικὴ
and being-present-with holy Spirit trumpet angelic
προσκαλεῖται πάντας ἡμᾶς τὰ πεπραγμένα φοροῦντας.
summons all us the(-things) done bearing
Ἆρα οὐκ ὀφείλομεν ἐντεῦθεν ἤδη ἀγωνιάσαι; Μὴ μικρὰν
— not ought-we from-here already to-be-anxious not small

τὴν καταδίκην, καὶ χωρὶς τιμωρίας, ἄνθρωπε, νομίσῃς
the condemnation and without punishment O-man think
τὸ ἐπὶ τοσούτων καταγνωσθῆναι. Ἆρα οὐχ αἱρούμεθα
the before so-many to-be-condemned — not do-we-choose
πολλάκις ἀποθανεῖν, ἢ ὑπὸ φίλων καταγνωσθῆναι;
often to-die than by friends to-be-condemned
25 Ἀγωνιάσωμεν, ἀδελφοί, τοίνυν, μὴ Θεὸς ἡμῶν καταγνῷ·
let-us-be-anxious brothers therefore lest God us condemn
ὃς ἐξετάσεως ἢ ἐλέγχων οὐ χρείαν ἔχει, πρὸς κατάγνωσιν.
who of-examination or of-proofs not need has for condemnation
Μὴ εἴπῃς, ὅτι νυκτὸς ἐπόρνευσα, ἢ ἐμάγευσα, ἢ ἕτερόν
not say that by-night I-fornicated or I-practiced-magic or other
τι ἔπραξα, καὶ ἄνθρωπος οὐ παρῆν ἐκεῖ. Ἐκ
something I-did and man not was-present there from
τῆς συνειδήσεώς σου κρίνῃ μεταξὺ τῶν λογισμῶν,
the conscience your you-are-judged between the thoughts
κατηγορούντων ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ὅταν
accusing or also defending in day when
κρίνῃ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. Τοῦ κριτοῦ
judges — God the secrets of-the men of-the judge
τὸ φοβερὸν πρόσωπον ἀναγκάζει σε εἰπεῖν τὴν ἀλήθειαν·
the fearful face compels you to-speak the truth
μᾶλλον δὲ κἂν μὴ εἴπῃς ἐλέγχει. Περιβεβλημένος γὰρ
rather and even-if not you-speak it-convicts clothed for
τὰς σεαυτοῦ ἁμαρτίας, ἤτοι δικαιοσύνας, ἐγείρῃ· καὶ τοῦτο
the your-own sins or righteousnesses you-rise and this
ἐδήλωσεν αὐτὸς ὁ κριτὴς, λέγων. (Χριστὸς γάρ ἐστιν
showed himself the judge saying (Christ for is
ὁ κρίνων. Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ
the(-one) judging not-even for the Father judges anyone but
τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ· οὐκ ἀπαλλοτριῶν
the judgment all has-given to-the Son not alienating

ἑαυτὸν τῆς ἐξουσίας, ἀλλὰ διὰ τοῦ Υἱοῦ κρίνων.
himself from-the authority but through the Son judging
Νεύματι τοίνυν Πατρὸς κρίνει ὁ Υἱός. Οὐ γὰρ ἄλλα
by-nod therefore of-Father judges the Son not for other-things
Πατρὸς, καὶ ἄλλα Υἱοῦ τὰ νεύματα· ἀλλ' ἓν καὶ τὸ
of-Father and other-things of-Son the nods but one and the
αὐτό.) Τί λέγει τοίνυν ὁ κριτὴς περὶ τοῦ φορεῖν σε τὰ
same) what says therefore the judge about the to-wear you the
ἔργα σου, ἢ μή; Καὶ συνάξουσιν ἔμπροσθεν αὐτοῦ πάντα
works your or not and they-will-gather before him all
τὰ ἔθνη· δεῖ γὰρ ἐνώπιον τοῦ Χριστοῦ πᾶν γόνυ
the nations it-is-needful for before — Christ every knee
κάμψαι, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. Καὶ
to-bend of-heavenly and earthly and subterranean and
ἀφορίσει αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει
he-will-separate them from one-another as the shepherd separates
τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. Ὁ ποιμὴν πῶς ἀφορίζει;
the sheep from the goats the shepherd how separates
ἆρα ἐξετάζων ἀπὸ βιβλίου, τί μέν ἐστι πρόβατον, τίς δὲ
— examining from book what indeed is sheep what and
ἔριφος· ἢ ἀπὸ τῶν φαινομένων διακρίνει; Οὐχὶ τὸ μὲν
goat or from the appearances does-he-distinguish not the indeed
ἔριον δηλοῖ τὸ πρόβατον, τὸ δὲ τριχῶδες καὶ σκληρὸν
wool shows the sheep the but hairy and rough
δηλοῖ τὸν ἔριφον; Οὕτως, ἐὰν μὲν καθαρθῇς ἄρτι τῶν
shows the goat so if indeed you-are-cleansed now from-the
ἁμαρτιῶν, τὰς πράξεις ἔχεις εἰς τὸ ἑξῆς ὡς ἔριον
sins the deeds you-have for the future as wool
καθαρόν· καὶ μένει σου ἀμόλυντος ἡ στολὴ, καὶ λέγεις
pure and remains your undefiled the robe and you-say
πάντοτε τὸ, Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι
always the I-have-put-off the tunic my how shall-I-put-on

αὐτόν; Ἐκ τῆς περιβολῆς γνωρίζῃ πρόβατον. Ἐὰν δὲ
it from the clothing you-are-known sheep if but
τριχώδης εὑρεθῇς, κατὰ τὸν Ἡσαῦ τὸν δασὺν ἐν θριξί,
hairy you-are-found like — Esau the shaggy in hair
καὶ φαῦλον ἐν διανοίᾳ· τὸν ἀπολέσαντα τὰ πρωτοτόκια
and base in mind the(-one) having-lost the birthright
διὰ βρώματα, καὶ πωλήσαντα τὴν ἀξίαν· γενήσῃ
because-of food and having-sold the worth you-will-become
τῶν ἀριστερῶν. Μὴ γένοιτο δέ τινα τῶν παρόντων
of-the left(-hand) not may-it-be and anyone of-the(-ones) present
ἀποβληθῆναι τῆς χάριτος, μηδὲ διὰ φαύλας πράξεις
to-be-cast-out from-the grace nor because-of base deeds
ἐν τοῖς ἀριστεροῖς τῶν ἁμαρτωλῶν εὑρεθῆναι τάγμασι.
in the left of-the sinners to-be-found ranks
26 Φοβερὰ ἡ κρίσις ὡς ἀληθῶς, καὶ φόβος ἐπὶ τοῖς
fearful the judgment as truly and fear at the(-things)
καταγγελλομένοις· βασιλεία οὐρανῶν πρόκειται, καὶ πῦρ
proclaimed kingdom of-heavens is-set-before and fire
αἰώνιον ἡτοίμασται. Πῶς οὖν, ἐρεῖ τις, φύγωμεν τὸ
eternal has-been-prepared how then will-say someone shall-we-flee the
πῦρ; καὶ πῶς εἰσέλθωμεν εἰς τὴν βασιλείαν; Ἐπείνασα,
fire and how shall-we-enter into the kingdom I-hungered
φησὶ, καὶ ἐδώκατέ μοι φαγεῖν. Μάθετε τὴν ὁδόν· οὐ
he-says and you-gave me to-eat learn the way not
χρεία νῦν ἀλληγορίας, ἀλλὰ τοῦ ἐπιτελέσαι τὰ
need now of-allegory but of-the to-accomplish the(-things)
λεγόμενα. Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα,
said I-hungered and you-gave me to-eat I-thirsted
καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς,
and you-gave-drink me stranger I-was and you-took-in me naked
καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν
and you-clothed me I-was-sick and you-visited me in

φυλακῇ ἤμην, καὶ ἤλθετε πρὸς μέ. Ταῦτα ἐὰν ποιήσῃς,
prison I-was and you-came to me these-things if you-do
συμβασιλεύσεις· εἰ δὲ μὴ ποιήσῃς, κατακρίνῃ. Ἤδη
you-will-reign-with if but not you-do you-will-be-condemned already
τοίνυν ἄρξαι τοῦ ἐργάζεσθαι ταῦτα, καὶ ἐπίμενε τῇ πίστει·
therefore begin the to-work these-things and abide-in the faith
μὴ, κατὰ τὰς μωρὰς παρθένους, μέλλων ἀγοράζειν τὸ
not like the foolish virgins being-about to-buy the
ἔλαιον ἀποκλεισθῇς. Μὴ θαρσήσῃς, ὅτι μόνον κατέχεις τὴν
oil you-be-shut-out not be-confident that only you-hold the
λαμπάδα· ἀλλὰ διατήρησον αὐτὴν καιομένην. Λαμψάτω σου
lamp but keep it burning let-shine your
τὸ φῶς τῶν καλῶν ἔργων ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ
the light of-the good works before the men and
μὴ βλασφημείσθω διὰ σὲ ὁ Χριστός. Φόρεσον ἔνδυμα
not let-be-blasphemed because-of you — Christ wear garment
ἀφθαρσίας, ἐν ἔργοις ἀγαθοῖς διαπρέπων· καὶ ὃ λαμβάνεις
of-incorruption in works good being-conspicuous and what you-receive
παρὰ τοῦ Θεοῦ οἰκονομικῶς διοικῆσαι πρᾶγμα, διοίκησον
from — God by-stewardship to-administer thing administer
χρησίμως. Χρήματα ἐπιστεύθης; διοίκησον καλῶς. Λόγον
usefully money were-you-entrusted administer well word
διδασκαλικὸν ἐπιστεύθης; οἰκονόμησον καλῶς. Τὰς ψυχὰς
of-teaching were-you-entrusted steward well the souls
τῶν ἀκουόντων προσθεῖναι δύνασαι; ποίει τοῦτο σπουδαίως.
of-the hearers to-add can-you do this earnestly
Πολλαὶ θύραι τῆς καλῆς διοικήσεως. Μή τις ἡμῶν μόνον
many doors of-the good administration let-not anyone of-us only
καταγνωσθεὶς ἀποβληθῇ, ἵνα μετὰ παῤῥησίας ἀπαντήσωμεν
condemned be-cast-out that with boldness we-may-meet
τῷ αἰωνίῳ βασιλεῖ Χριστῷ, τῷ βασιλεύοντι εἰς τοὺς
the eternal king Christ the(-one) reigning to the

αἰῶνας. Βασιλεύει γὰρ εἰς τοὺς αἰῶνας, ὁ κρίνων
ages he-reigns for to the ages the(-one) judging
ζῶντας καὶ νεκροὺς, ὑπὲρ ζώντων καὶ νεκρῶν ἀποθανών·
living and dead on-behalf-of living and dead having-died
καὶ καθὼς Παῦλός φησιν· Εἰς τοῦτο γὰρ ὁ Χριστὸς
and as Paul says for this for — Christ
ἀπέθανε καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.
died and lived that both of-dead and of-living he-may-be-lord
27 Κἂν ποτέ τινος ἀκούσῃς λέγοντος, ὅτι τέλος ἔχει ἡ
even-if ever someone you-hear saying that end has the
Χριστοῦ βασιλεία, μίσησον τὴν αἵρεσιν· τοῦ δράκοντός
of-Christ kingdom hate the heresy of-the dragon
ἐστιν ἄλλη κεφαλὴ, προσφάτως περὶ τὴν Γαλατίαν
it-is another head lately about — Galatia
ἀναφυεῖσα. Ἐτόλμησέ τις λέγειν, ὅτι μετὰ τὸ τέλος τοῦ
sprung-up dared someone to-say that after the end of-the
κόσμου ὁ Χριστὸς οὐ βασιλεύει· καὶ ἐτόλμησεν εἰπεῖν, ὅτι
world — Christ not reigns and he-dared to-say that
ὁ Λόγος ἐκ Πατρὸς ἐξελθὼν, οὗτος εἰς Πατέρα πάλιν
the Word from Father having-come-out this into Father again
ἀναλυθεὶς οὐκέτι ἐστὶ, βλασφημῶν τὰ τοιαῦτα καθ' ἑαυτοῦ.
dissolved no-longer is blaspheming the such-things against himself
Οὐ γὰρ ἤκουσε τοῦ Κυρίου λέγοντος· Ὁ Υἱὸς μένει εἰς τὸν
not for he-heard the Lord saying the Son remains for the
αἰῶνα. Οὐκ ἤκουσε τοῦ Γαβριὴλ λέγοντος· Καὶ βασιλεύσει
age not he-heard — Gabriel saying and he-will-reign
ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας
over the house of-Jacob to the ages and of-the kingdom
αὐτοῦ οὐκ ἔσται τέλος. Σκόπησον τὸ λεγόμενον·
his not will-be end consider the(-thing) said
ἄνθρωποι νῦν αἱρετικοὶ κατὰ τοῦ Χριστοῦ διδάσκουσι, καὶ
men now heretics against — Christ teach and

Γαβριὴλ ὁ ἀρχάγγελος τὰ περὶ τῆς αἰωνίου διαμονῆς
Gabriel the archangel the(-things) about the eternal continuance
τοῦ Σωτῆρος ἐδίδαξε· Τίνι μᾶλλον οὖν πιστεύεις; οὐχὶ ἄρα
of-the Savior taught whom rather then do-you-believe not then
τῷ Γαβριήλ; Τὴν μαρτυρίαν τὴν παροῦσαν τοῦ Δανιὴλ
— Gabriel the testimony the present — of-Daniel
ἄκουσον· Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ
hear I-beheld in vision of-the night and behold with
τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος,
the clouds of-the heaven as Son of-man coming
καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ αὐτῷ
and up-to the Ancient of-the days he-reached and to-him
ἐδόθη ἡ τιμὴ, καὶ ἡ ἀρχὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ
was-given the honor and the rule and the kingdom and all the
λαοὶ, φυλαὶ, γλῶσσαι, δουλεύουσιν αὐτῷ. Ἡ ἐξουσία αὐτοῦ,
peoples tribes tongues serve him the authority his
ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία
authority eternal which not will-pass-away and the kingdom
αὐτοῦ οὐ διαφθαρήσεται. Ταῦτα κράτει μᾶλλον, τούτοις
his not will-be-destroyed these-things hold rather these
πίστευε· τὰ δὲ τῆς αἱρέσεως ἀποπέμπου· φανερώτατα
believe the(-things) but of-the heresy send-away most-clearly
γὰρ ἤκουσας περὶ τῆς ἀτελευτήτου τοῦ Χριστοῦ βασιλείας.
for you-heard about the endless — of-Christ kingdom
Ἔχεις τὸ παραπλήσιον καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ λίθου, 28
you-have the like also in the interpretation of-the stone
τοῦ ἐξ ὄρους τμηθέντος ἄνευ χειρῶν, ὅς ἐστι Χριστὸς
the(-one) from mountain cut without hands who is Christ
τὸ κατὰ σάρκα· Καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ
the according-to flesh and the kingdom his to-people another
οὐχ ὑπολειφθήσεται. Καὶ ὁ Δαβὶδ ποτὲ μέν φησιν· Ὁ
not will-be-left and — David at-one-time indeed says the

θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ποτὲ
throne your O God for the age of-the age at-another-time
δέ· Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ τὰ
and in beginnings you Lord the earth founded and the
ἔξῆς. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ τὰ ἔξῆς. Σὺ
next they will-perish you but remain and the next you
δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Ἅτινα
but the same are and the years your not will-fail which
εἰς τὸν Υἱὸν ὁ Παῦλος ἡρμήνευσεν.
to the Son — Paul interpreted

29 Καὶ θέλεις γνῶναι πόθεν ἦλθον εἰς τοιαύτην μανίαν οἱ
and do-you-wish to-know whence came into such madness the(-ones)
τὰ ἐναντία διδάσκοντες; Ἀνέγνωσαν τὸ τοῦ Ἀποστόλου
the contrary-things teaching they-read the of-the Apostle
καλὸν, κακῶς, τὸ, Δεῖ γὰρ αὐτὸ, βασιλεύειν ἄχρις οὗ
good(-saying) badly the it-is-needful for him to-reign until —
ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ·
— he-puts all the enemies his under the feet his
καὶ λέγουσιν· Ὅταν οἱ ἐχθροὶ τεθῶσι ὑπὸ τοὺς πόδας αὐτοῦ,
and they-say when the enemies are-put under the feet his
οὐκέτι βασιλεύει· κακῶς καὶ ἀνοήτως τοῦτο λέγοντες. Ὁ
no-longer he-reigns badly and foolishly this saying the(-one)
γὰρ πρὶν καταγωνίσηται τοὺς ἐχθροὺς βασιλεύων, πῶς οὐχὶ
for before he-subdues the enemies reigning how not
μᾶλλον, μετὰ τὸ περικρατῆσαι τῶν ἐχθρῶν βασιλεύσει;
rather after the to-have-mastered the enemies will-be-reign

30 Ἐτόλμησαν δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι τὸ γεγραμμένον,
they-dared and also this to-say that the(-thing) written
Ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς
when are-subjected to-him the all-things then also himself the Son
ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, τοῦτο
will-be-subjected to-the(-one) having-subjected to-him the all-things this

δηλοῖ καὶ τὸν Υἱὸν ἀναλύεσθαι εἰς Πατέρα. Εἶτα, ὦ πάντων
shows also the Son to-be-dissolved into Father then O of-all
ἀνοσιώτατοι, ὑμεῖς μὲν τὰ Χριστοῦ δημιουργήματα, μένετε·
most-unholy you indeed the of-Christ creatures remain
Χριστὸς δὲ, δι' οὗ καὶ ὑμεῖς· καὶ πάντα γέγονεν,
Christ but through whom also you and all-things came-to-be
ἀπόλλυται; βλάσφημος ἡ φωνή. Πῶς δὲ καὶ ὑποταγήσεται
perishes blasphemous the voice how and also will-be-subjected
αὐτῷ τὰ πάντα; ἀπολλύμενα, ἢ μένοντα; Εἶτα, τὰ
to-him the all-things perishing or remaining then the
μὲν ἄλλα ὑποτασσόμενα τῷ Υἱῷ, μένει· ὁ δὲ Υἱὸς
indeed other-things being-subjected to-the Son remain the but Son
ὑποτασσόμενος τῷ Πατρὶ, οὐ μένει; ὑποταγήσεται δὲ, οὐχ
being-subjected to-the Father not remains will-be-subjected and not
ὅτι τότε ἄρχεται πειθαρχεῖν τῷ Πατρὶ (ἀεὶ γὰρ τὰ
that then he-begins to-obey the Father (always for the(-things)
ἀρεστὰ αὐτῷ ποιεῖ πάντοτε), ἀλλ' ὅτι καὶ τότε ὑπακούει, οὐκ
pleasing to-him he-does always) but that also then he-obeys not
ἀναγκαστὴν ὑπακοὴν ἔχων, ἀλλ' αὐτοπροαίρετον εὐπείθειαν.
compelled obedience having but self-chosen compliance
Οὐ γὰρ δοῦλός ἐστιν, ἵνα ἀνάγκῃ ὑποταγῇ· ἀλλὰ Υἱός
not for slave he-is that by-necessity he-may-be-subjected but Son
ἐστιν· ἵνα προαιρέσει καὶ φιλοστοργίᾳ πεισθῇ.
he-is that by-choice and affection he-may-be-persuaded
Ἐξετάσωμεν δὲ αὐτούς· Τὸ, ἄχρις οὗ, ἢ τὸ, μέχρις 31
let-us-examine and them the until which or the up-to
οὗ, ποταπόν ἐστιν; Ἐγὼ γὰρ αὐτῇ τῇ λέξει, ὁμόσε
which what-sort is-it I for with-itself the word to-close-quarters
χωρήσας, ἀνατρέψαι πειράσομαι τὴν πλάνην. Ἐπειδὴ
having-come to-overturn will-try the error since
ἐτόλμησαν εἰπεῖν, ὅτι τὸ, Μέχρις οὗ ἂν θῇ τοὺς ἐχθροὺς
they-dared to-say that the up-to — — he-puts the enemies

αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, δηλοῖ αὐτοῦ τὸ τέλος· καὶ
his under the feet his shows his the end and
ἐτόλμησαν περιγράψαι τὴν αἰώνιον τοῦ Χριστοῦ βασιλείαν,
they-dared to-circumscribe the eternal — of-Christ kingdom
καὶ καταπαῦσαι τῷ λόγῳ τὴν ἀκατάπαυστον ἐξουσίαν·
and to-make-cease by-the word the unceasing authority
φέρε τοίνυν, ἀναγνῶμεν τὰ ὅμοια ἐν τῷ Ἀποστόλῳ.
come therefore let-us-read the like-things in the Apostle
Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως.
but reigned the death from Adam up-to Moses
Ἄρα μέχρι τότε ἀπέθανον, καὶ οὐκέτι μετὰ Μωϋσέα
— up-to then they-died and no-longer after Moses
τινὲς ἀπέθανον, ἢ μετὰ νόμον οὐκέτι θάνατος γέγονεν
some died or after law no-longer death has-come-about
ἀνθρώπων; Ἀλλὰ βλέπεις, ὅτι τὸ μέχρι, ῥητὸν οὐ χρόνου
of-men but you-see that the up-to expression not of-time
ἐστὶ περιοριστικόν· ἀλλ' ὅτι τοῦτο μᾶλλον ἐδήλωσεν ὁ
is limiting but that this rather showed —
Παῦλος, καὶ ταῦτα Μωϋσέως δικαίου ὄντος, καὶ θαυμασίου
Paul and these Moses just being and wonderful
ἀνδρὸς, ὅμως ἡ κατὰ τοῦ Ἀδὰμ ἐξενεχθεῖσα ἀπόφασις
man nevertheless the against — Adam brought-forth sentence
θανατικὴ, ἔφθασε καὶ ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς ἑξῆς·
deadly reached also to him and to the(-ones) next
καὶ ταῦτα, μὴ ἁμαρτήσαντας τὰ ὅμοια τῷ Ἀδὰμ, ἐν
and these not having-sinned the like-things — to-Adam in
τῇ παρακοῇ τῆς τοῦ ξύλου βρώσεως.
the disobedience of-the of-the tree eating
32 Δέξαι πάλιν ἄλλο ῥητὸν ὅμοιον· Μέχρι γὰρ σήμερον, ἡνίκα
receive again another expression like up-to for today when
ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν
is-read Moses veil on the heart their

κεῖται. Τὸ μέχρι σήμερον, ἄρα μέχρι Παύλου μόνον; οὐ μέχρι
lies the up-to today then up-to Paul only not up-to
σήμερον, καὶ ἕως τῆς συντελείας; Ἐὰν δὲ λέγῃ Παῦλος
today and until the consummation if and says Paul
Κορινθίοις· Ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ Εὐαγγελίῳ
to-Corinthians until for even you we-reached in the Gospel
τοῦ Χριστοῦ, ἐλπίδα ἔχοντες, αὐξανομένης τῆς πίστεως
— of-Christ hope having increasing the faith
ὑμῶν, εἰς τὰ ὑπὲρ ἐκεῖνα ὑμῶν εὐαγγελίσασθαι· βλέπεις
your to the(-regions) beyond those you to-preach-the-gospel you-see
σαφῶς, ὅτι τὸ, ἄχρις, οὐ τέλος ἐστὶν, ἀλλ᾽ ἔχει τι
clearly that the until not end is but has something
ἐπακολουθοῦν. Πῶς τοίνυν δεῖ σε μνημονεύειν τὸ, Ἄχρις
following-on how therefore it-is-needful you to-remember the until
οὗ ἂν θῇ τοὺς ἐχθρούς; ὥσπερ ἀλλαχοῦ λέγει ὁ αὐτὸς
— — he-puts the enemies as elsewhere says the same
Παῦλος· Καὶ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν,
Paul and exhort yourselves according-to each day
ἄχρις οὗ τὸ σήμερον καλεῖται· δηλονότι διὰ παντός. Ὥσπερ
until — the today is-called evidently through all just-as
γὰρ ἀρχὴν τῶν ἡμερῶν τοῦ Χριστοῦ λέγειν οὐ χρὴ,
for beginning of-the days — of-Christ to-speak-of not it-is-right
οὕτω μηδὲ τέλος τῆς βασιλείας αὐτοῦ ποτε λέγοντός τινος
so not-even end of-the kingdom his ever saying anyone
ἀνάσχῃ. Ἡ γὰρ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, γέγραπται.
endure the for kingdom his kingdom eternal it-is-written
Καὶ ἄλλας δὲ πλείονας μαρτυρίας ἔχων ἐκ τῶν θείων 33
and other too more testimonies having from the divine
Γραφῶν, περὶ τῆς εἰς τοὺς αἰῶνας ἀτελευτήτου τοῦ Χριστοῦ
Scriptures about the to the ages endless — of-Christ
βασιλείας· ἀρκεσθήσομαι ταῖς προειρημέναις τέως
kingdom I-shall-be-content with-the(-ones) aforesaid meanwhile

διὰ τὸ πολὺ τῆς ἡμέρας. Σὺ δὲ ὁ ἀκροατὴς, ἐκεῖνον
because-of the much of-the day you and the hearer that
βασιλέα προσκύνει μόνον, φυγὼν πᾶσαν αἱρετικὴν πλάνην.
king worship only having-fled every heretical error
Εἰ δὲ παράσχοι ἡ τοῦ Θεοῦ χάρις, καὶ τὰ λείποντα
if and may-grant the — of-God grace also the(-things) remaining
τῆς Πίστεως κατὰ καιρὸν ὑμῖν ῥηθήσεται. Ὁ δὲ τῶν ὅλων
of-the Faith in time to-you will-be-said the and of-the universe
Θεὸς πάντας ὑμᾶς διαφυλάξειε, μνημονεύοντας τῶν σημείων
God all you may-he-guard remembering the signs
τῆς συντελείας καὶ ἀκαταγωνίστους ὑπὸ τοῦ Ἀντιχρίστου
of-the consummation and unconquered by the Antichrist
μένοντας. Ἔλαβες τὰ σημεῖα τοῦ μέλλοντος ἔρχεσθαι
remaining you-received the signs of-the about to-come
πλάνου· ἔλαβες τὰς ἀποδείξεις τοῦ ἀληθινοῦ Χριστοῦ, τοῦ
deceiver you-received the proofs of-the true Christ the(-one)
κατερχομένου φανερῶς ἐξ οὐρανῶν. Τὸν μὲν φεῦγε, τὸν
descending manifestly from heavens the(-one) indeed flee the
ψευδῆ· τὸν δὲ προσδόκα, τὸν ἀληθινόν. Ἔμαθες τὴν ὁδὸν,
false the(-one) but await the true you-learned the way
πῶς κρινόμενος ἐν τοῖς δεξιοῖς εὑρεθῇς. Τήρησον τὴν
how judged at the right(-hand) you-may-be-found keep the
περὶ Χριστοῦ παραθήκην, ἐν ἔργοις ἀγαθοῖς διαπρέπων· ἵνα
about Christ deposit in works good being-conspicuous that
εὐπαῤῥησιάστως παραστὰς τῷ κριτῇ, βασιλείαν οὐρανῶν
with-boldness standing-before the judge kingdom of-heavens
κληρονομήσῃς· δι' οὗ, καὶ μεθ' οὗ, ἡ δόξα τῷ Θεῷ,
you-may-inherit through whom and with whom the glory — to-God
σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
with holy Spirit to the ages of-the ages amen

ΚΑΤΗΧΗΣΙΣ Ις΄ ΦΩΤΙΖΟΜΕΝΩΝ

XVI · ON THE HOLY SPIRIT, I

Speaking of the Holy Spirit needs grace, since blasphemy against it is never forgiven; so Cyril will say only what Scripture says. There is one Spirit, as there is one Father and one Son, the same in both Covenants. He warns against its blasphemers: Simon the Magus, the Gnostics, Marcion, Mani, who called himself the Paraclete, and Montanus, who called himself the Spirit and named the Phrygian village of Pepuza Jerusalem. The Spirit is called water because it is one and works variously, as rain whitens the lily and reddens the rose. Scripture calls many things spirit; the unclean spirit falls on a soul like a wolf, but the Holy Spirit comes gently to enlighten and console, as in Peter, Elisha, and the martyrs, and stands above every angel. It rested on the seventy elders, the judges, the prophets, and Daniel; the New Covenant waits for the next lecture.

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, Καὶ εἰς ἓν
in Jerusalem extemporized on the and in one
ἅγιον Πνεῦμα, τὸν Παράκλητον, τὸ λαλῆσαν ἐν τοῖς
holy Spirit the Paraclete the(-one) having-spoken in the
προφήταις· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους·
prophets and reading from the(-letter) to Corinthians
Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς
about and the spiritual(-gifts) brothers not I-wish you
ἀγνοεῖν, καὶ ἑξῆς· Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ
to-be-ignorant and next diversities and of-gifts there-are the
δὲ αὐτὸ Πνεῦμα, καὶ τὰ ἑξῆς.
but same Spirit and the next
Πνευματικῆς ἀληθῶς χρεία τῆς χάριτος, ἵνα περὶ Πνεύματος 1
spiritual truly need of-the grace that about Spirit
ἁγίου διαλεχθῶμεν· οὐχ ἵνα τὸ κατ᾽ ἀξίαν εἴπωμεν·
holy we-may-discourse not that the(-thing) according-to worth we-may-say
ἀδύνατον γάρ· ἀλλ᾽ ἵνα τὰ ἀπὸ τῶν θείων Γραφῶν
impossible for but that the(-things) from the divine Scriptures

εἰπόντες, ἀκινδύνως διέλθωμεν. Φόβος γὰρ ἀληθῶς
having-said without-danger we-may-go-through fear for truly
μέγας ἐν τοῖς Εὐαγγελίοις γέγραπται, τοῦ Χριστοῦ σαφῶς
great in the Gospels is-written — Christ clearly
εἰρηκότος· Ὃς δ' ἂν εἴπῃ λόγον κατὰ τοῦ Πνεύματος
having-said whoever and — says word against the Spirit
τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ αἰῶνι τούτῳ,
the holy not it-will-be-forgiven him neither in the age this
οὔτε ἐν τῷ μέλλοντι. Καὶ ἔστι πολλάκις δέος, μή ποτέ
nor in the(-one) coming and there-is often dread lest ever
τις ἢ ἐξ ἀγνοίας, ἢ ἐκ νομιζομένης εὐλαβείας, εἰπὼν
anyone either from ignorance or from supposed piety having-said
ὃ μὴ χρὴ περὶ αὐτοῦ, λάβῃ τὴν καταδίκην. Ὁ κριτὴς
what not it-is-right about him receive the condemnation the judge
ζώντων καὶ νεκρῶν Ἰησοῦς Χριστὸς ἀπεφήνατο, ὅτι οὐκ
of-living and dead Jesus Christ declared that not
ἔχει ἄφεσιν· ἐὰν οὖν τις πταίσῃ, ποίαν ἔχει τὴν ἐλπίδα;
he-has forgiveness if then anyone stumbles what-kind has-be the hope
2 Αὐτῆς οὖν ἂν εἴη τῆς Ἰησοῦ Χριστοῦ χάριτος ἔργον τὸ
of-very then — it-would-be the of-Jesus Christ grace work the
παρασχεῖν, καὶ ἡμῖν ἀλείπτως εἰπεῖν, καὶ ὑμῖν ἐν συνέσει
to-grant both to-us without-failing to-speak and to-you with understanding
ἀκούειν. Χρεία γὰρ συνέσεως, οὐ μόνον τοῖς λέγουσιν,
to-hear need for of-understanding not only to-the(-ones) speaking
ἀλλὰ καὶ τοῖς ἀκούουσιν· ἵνα μὴ ἄλλα ἀκούοντες,
but also to-the(-ones) hearing that not other-things hearing
ἄλλα παρεκδέχωνται ἐν διανοίᾳ. Λεγέσθω τοίνυν ὑφ'
other-things they-may-misunderstand in mind let-be-said therefore by
ἡμῶν περὶ ἁγίου Πνεύματος μόνα τὰ γεγραμμένα· εἰ
us about holy Spirit only the(-things) written if
δέ τι μὴ γέγραπται, μὴ πολυπραγμονῶμεν. Αὐτὸ τὸ
but anything not is-written not let-us-pry itself the

Πνεῦμα τὸ ἅγιον ἐλάλησε τὰς Γραφάς· αὐτὸ καὶ περὶ ἑαυτοῦ
Spirit the holy spoke the Scriptures it also about itself
εἴρηκεν ὅσα ἐβούλετο, ἢ ὅσα ἐχωροῦμεν. Λεγέσθω οὖν
has-said as-much-as it-wished or as-much-as we-could-contain let-be-said then
ἃ εἴρηκεν· ὅσα γὰρ οὐκ εἴρηκεν, ἡμεῖς οὐ τολμῶμεν.
what it-has-said as-much-as for not it-has-said we not dare
Ἕν ἐστι μόνον τὸ ἅγιον Πνεῦμα, ὁ Παράκλητος. Καὶ ὥσπερ 3
one is only the holy Spirit the Paraclete and just-as
εἷς ἐστιν ὁ Θεὸς ὁ Πατὴρ, καὶ οὐκ ἔστι δεύτερος Πατήρ·
one is — God the Father and not there-is second Father
καὶ ὥσπερ εἷς ἐστιν ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ
and just-as one is the only-begotten Son and Word —
Θεοῦ, καὶ ἀδελφὸν οὐκ ἔχει· οὕτως ἕν ἐστι τὸ ἅγιον Πνεῦμα
of-God and brother not he-has so one is the holy Spirit
μόνον, καὶ δεύτερον οὐκ ἔστι Πνεῦμα ἰσότιμον αὐτῷ.
only and second not there-is Spirit equal-in-honor to-it
Ἔστιν οὖν τὸ ἅγιον Πνεῦμα μεγίστη δύναμις, θεῖόν τι
is then the holy Spirit greatest power divine something
καὶ ἀνεξιχνίαστον. Ζῇ γὰρ, καὶ λογικόν ἐστιν, ἁγιαστικὸν
and untraceable it-lives for and rational it-is sanctifying
τῶν ὑπὸ Θεοῦ διὰ Χριστοῦ γενομένων ἁπάντων. Τοῦτο
of-the(-things) by God through Christ made all this
φωτίζει τὰς ψυχὰς τῶν δικαίων· τοῦτο καὶ ἐν προφήταις,
enlightens the souls of-the just this also in prophets
τοῦτο καὶ ἐν ἀποστόλοις ἐν τῇ Καινῇ Διαθήκῃ. Μισείσθωσαν
this also in apostles in the New Covenant let-be-hated
οἱ χωρίζειν τολμῶντες τοῦ ἁγίου Πνεύματος τὴν
the(-ones) to-separate daring of-the holy Spirit the
ἐνέργειαν. Εἷς Θεὸς, ὁ Πατὴρ, Παλαιᾶς καὶ Καινῆς Διαθήκης
operation one God the Father of-Old and New Covenant
Δεσπότης· καὶ εἷς Κύριος, Ἰησοῦς Χριστὸς, ὁ ἐν Παλαιᾷ
Master and one Lord Jesus Christ the(-one) in Old

προφητευθεὶς καὶ ἐν Καινῇ παραγενόμενος· καὶ ἓν Πνεῦμα
prophesied and in New having-come and one Spirit
ἅγιον, διὰ προφητῶν μὲν περὶ τοῦ Χριστοῦ κηρύξαν·
holy through prophets indeed about — Christ having-proclaimed
ἐλθόντος δὲ τοῦ Χριστοῦ καταβὰν, καὶ ἐπιδεῖξαν αὐτόν.
having-come and — Christ having-descended and having-shown him
4 Μηδεὶς οὖν χωριζέτω τὴν Παλαιὰν ἀπὸ τῆς Καινῆς
let-no-one then separate the Old from the New
Διαθήκης· μηδεὶς λεγέτω, ὅτι ἄλλο τὸ Πνεῦμα ἐκεῖ, καὶ
Covenant let-no-one say that other the Spirit there and
ἄλλο ὧδε· ἐπεὶ προσκρούει αὐτῷ τῷ ἁγίῳ Πνεύματι, τῷ
other here since he-strikes-against itself the holy Spirit the(-one)
μετὰ Πατρὸς καὶ Υἱοῦ τετιμημένῳ, καὶ ἐν τῷ καιρῷ τοῦ
with Father and Son honored and in the time of-the
ἁγίου βαπτίσματος ἐν τῇ ἁγίᾳ Τριάδι συμπεριλαμβανομένῳ.
holy baptism in the holy Trinity included-together
Ὁ γὰρ τοῦ Θεοῦ μονογενὴς Υἱὸς τοῖς ἀποστόλοις εἴρηκε
the for — of-God only-begotten Son to-the apostles said
σαφῶς· Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη,
clearly having-gone make-disciples-of all the nations
βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ
baptizing them into the name of-the Father and of-the
Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἡ ἐλπὶς ἡμῶν εἰς Πατέρα,
Son and of-the holy Spirit the hope our in Father
καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα. Οὐ τρεῖς θεοὺς καταγγέλλομεν·
and Son and holy Spirit not three gods we-proclaim
φιμούσθωσαν γὰρ Μαρκιωνισταί· ἀλλὰ σὺν ἁγίῳ Πνεύματι,
let-be-muzzled for Marcionists but with holy Spirit
δι' ἑνὸς Υἱοῦ, ἕνα Θεὸν καταγγέλλομεν. Ἀδιαίρετος
through one Son one God we-proclaim undivided
ἡ πίστις, ἀχώριστος ἡ εὐσέβεια. Οὔτε χωρίζομεν τὴν
the faith inseparable the piety neither do-we-separate the

ἁγίαν Τριάδα, ὥς τινες· οὔτε συναλοιφὴν, ὡς Σαβέλλιος,
holy Trinity as some nor fusion as Sabellius
ἐργαζόμεθα. Ἀλλ᾽ οἴδαμεν εὐσεβῶς ἕνα Πατέρα, τὸν
do-we-work but we-know piously one Father the(-one)
ἀποστείλαντα ἡμῖν Σωτῆρα τὸν Υἱόν. Οἴδαμεν ἕνα Υἱὸν,
having-sent to-us Savior the Son we-know one Son
τὸν ἐπαγγειλάμενον πέμψειν παρὰ τοῦ Πατρὸς τὸν
the(-one) having-promised to-send from the Father the
Παράκλητον. Οἴδαμεν τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν
Paraclete we-know the Spirit the holy the(-one) having-spoken
ἐν προφήταις· καὶ ἐν τῇ Πεντηκοστῇ κατελθὸν ἐπὶ τοὺς
in prophets and at the Pentecost having-descended upon the
ἀποστόλους ἐν εἴδει πυρίνων γλωσσῶν, ἐνταῦθα ἐν τῇ
apostles in form of-fiery tongues here in —
Ἱερουσαλὴμ, ἐν τῇ ἀνωτέρᾳ τῶν ἀποστόλων Ἐκκλησίᾳ.
Jerusalem in the upper of-the apostles Church
Πάντων γὰρ παρ᾽ ἡμῖν ἐστι τὰ ἀξιώματα. Ἐνταῦθα
of-all for with us are the privileges here
Χριστὸς ἐξ οὐρανῶν κατῆλθεν· ἐνταῦθα τὸ Πνεῦμα τὸ
Christ from heavens came-down here the Spirit the
ἅγιον ἐξ οὐρανῶν κατῆλθε. Καὶ πρεπωδέστατον μὲν
holy from heavens came-down and most-fitting indeed
ἀληθῶς ἦν, ὥσπερ τὰ περὶ Χριστοῦ καὶ τοῦ Γολγοθᾶ,
truly it-was as the(-things) about Christ and — Golgotha
ἐν τῷ Γολγοθᾷ τούτῳ λέγομεν· οὕτω καὶ περὶ ἁγίου
in — Golgotha this we-speak so also about holy
Πνεύματος ἐν τῇ ἀνωτέρᾳ λέγειν Ἐκκλησίᾳ. Ἐπειδὴ δὲ τῆς
Spirit in the upper to-speak Church since but of-the
δόξης τοῦ ἐνταῦθα σταυρωθέντος, συναπολαύει τὸ
glory of-the(-one) here crucified enjoys-with the(-one)

ἐκεῖ κατελθόν· οὕτω τὰ περὶ τοῦ ἐκεῖ κατελθόντος
there having-descended so the(-things) about the(-one) there having-descended
ἐνταῦθα λαλοῦμεν· ἀμέριστος γάρ ἐστιν εὐσέβεια.
here we-speak indivisible for is piety
5 Βουλόμεθα λοιπόν τινα εἰπεῖν περὶ τοῦ ἁγίου
we-wish henceforth some-things to-say about the holy
Πνεύματος· οὐχὶ διηγήσασθαι τὴν ὑπόστασιν αὐτοῦ
Spirit not to-relate the substance its
ἀκριβῶς· ἀδύνατον γάρ· ἀλλ᾽ εἰπεῖν τὰς διαφόρους τινῶν
exactly impossible for but to-tell the various of-some
περὶ αὐτοῦ παρεκτροπὰς, ἵνα μή ποτε ἐξ ἀγνοίας ἐκείνων
about it deviations that not ever from ignorance of-those
κατενεχθῶμεν· καὶ ἐπικόψαι τὰς τῆς πλάνης ὁδοὺς, ἵνα
we-may-be-carried-down and to-cut-off the of-the error ways that
μίαν ὁδὸν βασιλικὴν ὁδεύσωμεν. Εἰ δέ τι ῥηθὲν ὑπὸ
one way royal we-may-travel if and anything said by
τῶν αἱρέσεων νῦν διηγούμεθα δι᾽ ἀσφάλειαν, τοῦτο
the heresies now we-relate because-of safety this
κατὰ τῆς ἐκείνων προτραπέσθω κεφαλῆς· ἀθῷοί τε εἴμεν,
on the of-them let-be-turned head innocent both may-we-be
οἵ τε λέγοντες ἡμεῖς, καὶ ὑμεῖς οἱ ἀκούοντες.
the(-ones) both speaking we and you the(-ones) hearing
6 Οἱ γὰρ περὶ πάντα ἀνοσιώτατοι αἱρετικοὶ, καὶ κατὰ
the(-ones) for in all-things most-unholy heretics also against
τοῦ ἁγίου Πνεύματος ὤξυναν γλῶσσαν, καὶ ἐτόλμησαν
the holy Spirit sharpened tongue and dared
εἰπεῖν τὰ ἀθέμιτα· καθὼς Εἰρηναῖος ὁ ἐξηγητὴς ἐν τοῖς
to-say the unlawful-things as Irenaeus the expositor in the
προστάγμασι τοῖς πρὸς τὰς αἱρέσεις, ἔγραψεν. Οἱ μὲν
injunctions the(-ones) against the heresies wrote the(-ones) indeed
ἑαυτοὺς εἶναι τὸ Πνεῦμα τὸ ἅγιον εἰπεῖν τολμήσαντες, ὧν
themselves to-be the Spirit the holy to-say having-dared of-whom

πρῶτος Σίμων, ὁ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων
first Simon the(-one) in the Acts of-the apostles
Μάγος· ἀποβληθεὶς γὰρ, τὰ τοιαῦτα διδάσκειν ἐτόλμησεν.
Magus cast-out for the such-things to-teach he-dared
Οἱ δὲ Γνωστικοὶ καλούμενοι καὶ ἀσεβεῖς, καὶ ἕτερα κατὰ
the and Gnostics called and impious also other-things against
τοῦ Πνεύματος ἐφθέγξαντο. Οὐαλεντινιανοὶ δὲ οἱ παράνομοι,
the Spirit uttered Valentinians and the lawless
πάλιν ἕτερα. Ὁ δὲ δυσσεβὴς Μάνης, ἑαυτὸν εἶναι τὸν ὑπὸ
again other-things the and impious Mani himself to-be the(-one) by
Χριστοῦ πεμφθέντα Παράκλητον εἰπεῖν ἐτόλμησεν. Ἕτεροι
Christ sent Paraclete to-say dared others
δὲ, ἄλλο ἐν προφήταις εἶναι, καὶ ἄλλο ἐν Καινῇ. Καὶ πολλή
and other in prophets to-be and other in New and great
δέ τις αὐτῶν ἡ πλάνη, μᾶλλον δὲ ἡ βλασφημία. Μίσησον
too some their the error rather and the blasphemy hate
τοίνυν τοὺς τοιούτους, καὶ φεῦγε τοὺς βλασφημοῦντας τὸ
therefore the such and flee the(-ones) blaspheming the
Πνεῦμα τὸ ἅγιον, καὶ ἄφεσιν οὐκ ἔχοντας. Τίς σοὶ πρὸς
Spirit the holy and forgiveness not having what to-you with
τοὺς ἀνελπίστους κοινωνία, τῷ βαπτισθησομένῳ νῦν
the hopeless fellowship the(-one) about-to-be-baptized now
καὶ εἰς Πνεῦμα ἅγιον; Εἰ ὁ κολλώμενος τῷ κλέπτῃ
also into Spirit holy if the(-one) joining-himself to-the thief
καὶ συντρέχων, ὑπὸ τιμωρίαν ἐστίν· ὁ προσκρούων
and running-with(-him) under punishment is the(-one) striking-against
Πνεύματι ἁγίῳ, ποίαν ἕξει τὴν ἐλπίδα;
Spirit holy what-kind will-be-have the hope
Μισείσθωσαν καὶ Μαρκιωνισταὶ, οἱ περιελόντες τὰ 7
let-be-hated also Marcionists the(-ones) having-stripped the
ῥήματα τῆς Παλαιᾶς Διαθήκης ἀπὸ τῆς Καινῆς. Πρῶτος
words of-the Old Covenant from the New first

γὰρ Μαρκίων, ὁ ἀθεώτατος, ὁ πρῶτος τρεῖς Θεοὺς
for Marcion the most-godless the(-one) first three Gods
εἰπών· εἰδὼς, ὅτι ἔγκεινται ἐν τῇ Καινῇ μαρτυρίαι περὶ
having-said knowing that are-contained in the New testimonies about
Χριστοῦ τῶν προφητῶν, περιέκοψε τὰς ἐκ τῆς Παλαιᾶς
Christ of-the prophets he-cut-out the from the Old
Διαθήκης μαρτυρίας, ἵνα ἀμάρτυρος μείνῃ ὁ Βασιλεύς.
Covenant testimonies that unwitnessed may-remain the King
Μισείσθωσαν οἱ προειρημένοι Γνωστικοὶ μὲν ὀνόματι,
let-be-hated the(-ones) aforesaid Gnostics indeed in-name
τῆς δὲ ἀγνωσίας πεπληρωμένοι· τολμήσαντες τοιαῦτα
of-the but ignorance filled having-dared such-things
εἰπεῖν περὶ ἁγίου Πνεύματος, ἅπερ ἐγὼ λέγειν οὐ τολμῶ.
to-say about holy Spirit which I to-say not dare
8 Μισείσθωσαν οἱ Κατάφρυγας, καὶ Μοντανὸς, ὁ τῶν κακῶν
let-be-hated the Cataphrygians and Montanus the of-the evils
ἔξαρχος· καὶ αἱ δύο δῆθεν αὐτοῦ προφήτιδες, Μαξιμίλλα καὶ
leader and the two so-called his prophetesses Maximilla and
Πρισκίλλα. Ὁ γὰρ Μοντανὸς οὗτος, ὁ παρεξεστηκὼς
Priscilla — for Montanus this the(-one) out-of-his-mind
καὶ μανιώδης ἀληθῶς (οὐ γὰρ ἂν εἶπε τοιαῦτα, εἰ μὴ
and raving truly (not for — he-would-have-said such-things if not
ἐμαίνετο), ἐτόλμησεν εἰπεῖν ἑαυτὸν εἶναι τὸ ἅγιον Πνεῦμα·
he-was-mad) dared to-say himself to-be the holy Spirit
ὁ ἀθλιώτατος, καὶ πάσης ἀκαθαρσίας καὶ ἀσελγείας
the most-wretched and of-all uncleanness and licentiousness
πεπληρωμένος· αὔταρκες γὰρ τοῦτο διὰ συσσήμων εἰπεῖν,
filled sufficient for this through hints to-say
τῶν παρουσῶν γυναικῶν σεμνότητος ἕνεκεν. Καὶ Πέπουζαν
of-the present women modesty for-the-sake and Pepuza
μικρότατον κωμύδριον ἐν τῇ Φρυγίᾳ καταλαβὼν, καὶ
smallest hamlet in — Phrygia having-seized and

ψευδῶς Ἱερουσαλὴμ ὀνομάσας τοῦτο· καὶ ἀθλιώτατα παιδία
falsely Jerusalem having-named it and most-wretchedly children
γυναικῶν μικρὰ σφάττων, καὶ κατακόπτων εἰς ἀθέμιτον
of-women small slaughtering and cutting-up for unlawful
βρῶσιν, προφάσει τῶν καλουμένων παρ᾽ αὐτοῖς μυστηρίων
food under-pretext of-the so-called among them mysteries
(διὸ μέχρις πρώην ἐν τῷ διωγμῷ, τοῦτο ποιεῖν ἡμεῖς
(wherefore until lately in the persecution this to-do we
ὑποπτευόμεθα, διὰ τὸ, κἀκείνους τοὺς Μοντανοὺς, ψευδῶς
are-suspected because-of the those-too the Montanists falsely
μὲν ὁμωνύμως δὲ, καλεῖσθαι Χριστιανοὺς), ἐτόλμησεν ἑαυτὸν
indeed by-same-name but to-be-called Christians) he-dared himself
εἰπεῖν ἅγιον Πνεῦμα· ὁ πάσης ἀσεβείας καὶ ἀπανθρωπίας
to-call holy Spirit the(-one) of-all impiety and inhumanity
πεπληρωμένος, ὁ ἀναπολόγητον ἔχων τὴν καταδίκην.
filled the(-one) inexcusable having the condemnation
Ἐπηγωνίσατο, καθὼς προείρηται, καὶ ὁ δυσσεβέστατος 9
contended-further as has-been-said-before also the most-impious
Μάνης, ὁ τὰ τῶν αἱρέσεων πασῶν κακὰ συνειληφώς·
Mani the(-one) the of-the heresies all evils having-gathered-together
καὶ οὗτος τελευταῖος βόθρος ἀπωλείας τυγχάνων, τὰ
and this-one last pit of-perdition being the(-things)
πάντων συλλέξας ὁμοῦ τῶν αἱρετικῶν, καινοτέραν
of-all having-collected together of-the heretics newer
εἰργάσατο καὶ ἐδίδαξε πλάνην. ἐτόλμησέ τε εἰπεῖν, ὅτι
worked and taught error he-dared and to-say that
αὐτὸς εἴη ὁ Παράκλητος, ὃν ἐπηγγείλατο Χριστὸς
he were the Paraclete whom promised Christ
ἀποστέλλειν. Ἀλλ᾽ ὁ Σωτὴρ ἐπαγγειλάμενος εἶπε τοῖς
to-send but the Savior having-promised said to-the
ἀποστόλοις· Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ,
apostles you but sit in the city Jerusalem

ἕως οὗ ἐνδύσησθε ἐξ ὕψους δύναμιν. Τί οὖν; ἄρα οἱ
until — you-are-clothed from on-high with-power what then — the
τελευτήσαντες ἀπόστολοι ἀπὸ διακοσίων ἐτῶν, ἐξεδέχοντο
having-died apostles from two-hundred years were-waiting-for
τὸν Μάνην, ἕως ἂν ἐνδύσωνται τὴν δύναμιν; καὶ
— Mani until — they-are-clothed-with the power and
τολμήσει τις εἰπεῖν, ὅτι οὐκ ἦσαν ἔκτοτε πλήρεις ἁγίου
will-dare anyone to-say that not they-were from-then full of-holy
Πνεύματος; Καὶ μὴν γέγραπται, ὅτι Τότε ἐπετίθεσαν τὰς
Spirit and indeed it-is-written that then they-laid-on the
χεῖρας, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον. Ἆρα οὐχὶ πρὸ τοῦ
hands and they-received Spirit holy — not before —
Μάνη, καὶ πρὸ πολλῶν ἐτῶν τοῦτο ἐγένετο, καταβάντος
Mani and before many years this happened having-descended
ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς τοῦ ἁγίου Πνεύματος;
on the day of-the Pentecost of-the holy Spirit
10 Διὰ τί κατεκρίθη Σίμων ὁ Μάγος; ἆρ᾽ οὐ προσελθὼν τοῖς
for what was-condemned Simon the Magus — not having-approached the
ἀποστόλοις, καὶ εἰπών· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην,
apostles and having-said give to-me-too the authority this
ἵνα, ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον;
that on-whom — I-lay the hands he-may-receive Spirit holy
Οὐ γὰρ εἶπε, Δότε κἀμοὶ Πνεύματος ἁγίου κοινωνίαν, ἀλλ᾽,
not for he-said give to-me-too of-Spirit holy fellowship but
ἐξουσίαν, ἵνα ἄλλοις πιπράσκῃ τὸ ἄπρατον, ὃ αὐτὸς
authority that to-others he-may-sell the unsalable which he
μὴ ἐκέκτητο. Καὶ ἀργύρια προσήνεγκε τοῖς ἀκτήμοσι,
not possessed and silver he-offered to-the(-ones) owning-nothing
καὶ ταῦτα βλέπων τοὺς προσφέροντας τὰς τιμὰς
and these-things seeing the(-ones) bringing the prices
τῶν πιπρασκομένων, καὶ τιθέντας παρὰ τοὺς πόδας
of-the(-things) sold and placing at the feet

τῶν ἀποστόλων· καὶ οὐκ ἐλογίσατο, ὅτι οἱ ποσὶ
of-the apostles and not he-reckoned that the(-ones) with-feet
καταπατοῦντες τὸν πλοῦτον προσενεχθέντα εἰς τροφὰς
trampling the wealth brought for food
τῶν πτωχῶν, οὗτοι οὐκ ἂν ἐπὶ μισθῷ ἔδοσαν ἐξουσίαν
of-the poor these not — for wage would-have-given authority
Πνεύματος ἁγίου. Οἱ δὲ τί φασι τῷ Σίμωνι; Τὸ ἀργύριόν
of-Spirit holy they and what say — to-Simon the silver
σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ
your with you may-it-be for destruction because the gift —
Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· δεύτερος γὰρ εἶ
of-God you-thought through money to-acquire second for you-are
Ἰούδας, διὰ τῶν ἀργυρίων προσδοκήσας πιπράσκειν τὴν
Judas through the silver having-expected to-sell the
χάριν τοῦ Πνεύματος. Εἰ οὖν ὁ Σίμων, θελήσας μισθῷ
grace of-the Spirit if then — Simon having-wished for-wage
λαβεῖν τὴν ἐξουσίαν, εἰς ἀπώλειάν ἐστι· Μάνης ὁ
to-take the authority to destruction is Mani the(-one)
ἑαυτὸν εἰπὼν τὸ Πνεῦμα εἶναι τὸ ἅγιον, πόσην ἔχει τὴν
himself having-said the Spirit to-be the holy how-great has-he the
ἀσέβειαν; Μισήσωμεν τοὺς μίσους ἀξίους· ἀποστραφῶμεν
impiety let-us-hate the(-ones) of-hatred worthy let-us-turn-from
οὓς ἀποστρέφεται ὁ Θεός. Εἴπωμεν καὶ αὐτοὶ μετὰ
whom turns-from — God let-us-say also ourselves with
παῤῥησίας πάσης τῷ Θεῷ περὶ πάντων αἱρετικῶν· Οὐχὶ
boldness all — to-God about all heretics not
τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς
the(-ones) hating you Lord did-I-hate and at the enemies
σου ἐξετηκόμην; Ἔστι γὰρ καὶ ἡ ἔχθρα καλὴ, καθὼς
your did-I-pine there-is for also the enmity good as
γέγραπται· Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου, καὶ ἀνὰ
it-is-written and enmity I-will-put in between you and in

μέσον τοῦ σπέρματος αὐτῆς. Ἡ γὰρ πρὸς τὸν ὄφιν
between of-the seed her the for toward the serpent
φιλία, ἔχθραν πρὸς τὸν Θεὸν καὶ θάνατον κατεργάζεται.
friendship enmity toward — God and death works

11 Ταῦτα μὲν οὖν ἡμῖν περὶ τῶν ἀποβεβλημένων εἰρήσθω.
these-things indeed then by-us about the(-ones) cast-out let-be-said
Λοιπὸν δὲ εἰς τὰς θείας Γραφὰς ἐπανέλθωμεν, καὶ πίνωμεν
henceforth and to the divine Scriptures let-us-return and let-us-drink
ὕδατα ἀπὸ ἡμετέρων ἀγγείων [ἁγίων Πατέρων], καὶ ἀπὸ
waters from our vessels [holy Fathers] and from
ἡμετέρων φρεάτων πηγῆς· πίνωμεν ἀπὸ ὕδατος ζῶντος,
our wells of-spring let-us-drink from water living
ἁλλομένου εἰς ζωὴν αἰώνιον. Τοῦτο δὲ εἶπεν ὁ Σωτὴρ περὶ
springing-up to life eternal this and said the Savior about
τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες
the Spirit which were-about to-receive the(-ones) believing
εἰς αὐτόν. Βλέπε γὰρ τί λέγει· Ὁ πιστεύων εἰς ἐμὲ,
in him see for what he-says the(-one) believing in me
οὐχ ἁπλῶς, ἀλλὰ, καθὼς εἶπεν ἡ Γραφὴ (ἀνέπεμψέ σε
not simply but as said the Scripture (he-referred you
εἰς τὴν Παλαιὰν Διαθήκην), ποταμοὶ ἐκ τῆς κοιλίας
to the Old Covenant) rivers from the belly
αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· οὐ ποταμοὶ αἰσθητοὶ,
his will-flow of-water living not rivers sensible
γῆν ἁπλῶς ἀκανθοφόρον καὶ ξυλοφόρον ποτίζοντες, ἀλλὰ
earth merely thorn-bearing and tree-bearing watering but
ψυχὰς φωταγωγοῦντες. Καὶ ἀλλαχοῦ φησιν· Ἀλλὰ τὸ
souls enlightening and elsewhere he-says but the
ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος
water which I-will-give him will-become in him spring of-water

ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον· καινότερον ὕδωρ ζῶν
living springing-up to life eternal newer water living
καὶ ἀλλόμενον, ἀλλόμενον δὲ ἐπὶ τοὺς ἀξίους.
and springing-up springing-up and upon the worthy
Καὶ διὰ τί ἄρα τὴν πνευματικὴν χάριν ὕδωρ ὠνόμασεν; 12
and for what then the spiritual grace water did-he-name
Ἐπειδὴ δι᾽ ὕδατος ἡ σύστασις τῶν ἁπάντων· ἐπειδὴ
since through water the constitution of-the all-things since
χλοοποιὸν, καὶ ζωοποιόν ἐστι τὸ ὕδωρ· ἐπειδὴ ἐξ οὐρανῶν
grass-producing and life-producing is the water since from heavens
κατέρχεται τὸ τῶν ὄμβρων ὕδωρ· ἐπειδὴ μονοειδὲς μὲν
comes-down the of-the showers water since uniform indeed
κατέρχεται, πολυειδῶς δὲ ἐνεργεῖ. Μία μὲν γὰρ πηγὴ ὅλον
it-comes-down multiformly but it-operates one indeed for spring whole
παράδεισον ἐπαρδεύει· εἷς δὲ καὶ ὁ αὐτὸς ὑετὸς κατέρχεται
paradise waters one and also the same rain comes-down
ἐν παντὶ τῷ κόσμῳ· καὶ γίνεται λευκὸς μὲν ἐν κρίνῳ,
in all the world and becomes white indeed in lily
ἐρυθρὸς δὲ ἐν ῥόδῳ, πορφυραῖος δὲ ἐν ἴοις καὶ ὑακίνθοις,
red and in rose purple and in violets and hyacinths
καὶ διάφορος καὶ ποικίλος ἐν παντοίοις εἴδεσι· καὶ ἐν
and different and manifold in all-kinds forms and in
φοίνικι μὲν ἄλλος, ἐν ἀμπέλῳ δὲ ἄλλος, καὶ ἐν πᾶσι
palm indeed other in vine and other and in all-things
τὰ πάντα· μονοειδὴς ὢν, καὶ οὐκ ὢν ἄλλος αὐτὸς ἑαυτοῦ.
the all-things uniform being and not being other itself than-itself
Οὐ γὰρ μεταβάλλων ἑαυτὸν ὁ ὑετὸς, ἄλλος καὶ ἄλλος
not for changing itself the rain other and other
κατέρχεται· ἀλλὰ τῇ τῶν ὑποδεχομένων κατασκευῇ
comes-down but to-the of-the(-things) receiving constitution
συμπεριφερόμενος, ἑκάστῳ τὸ πρόσφορον γίνεται. Οὕτω καὶ
adapting-itself to-each the suitable becomes so also

τὸ Πνεῦμα τὸ ἅγιον, ἓν ὂν καὶ μονοειδὲς καὶ ἀδιαίρετον,
the Spirit the holy one being and uniform and undivided
ἑκάστῳ διαιρεῖ τὴν χάριν καθὼς βούλεται. Καὶ ὥσπερ
to-each divides the grace as it-wills and just-as
τὸ ξηρὸν ξύλον, ὕδατι κοινωνῆσαν, βλαστοὺς ἐκδίδωσιν·
the dry wood with-water having-shared shoots puts-forth
οὕτω καὶ ἡ ἐν ἁμαρτίαις ψυχὴ, διὰ μετανοίας ἁγίου
so also the in sins soul through repentance of-holy
Πνεύματος καταξιωθεῖσα, βότρυας ἐκφέρει δικαιοσύνης.
Spirit deemed-worthy clusters brings-forth of-righteousness
Μονοειδὲς δὲ ὂν, πολλὰς νεύματι Θεοῦ καὶ ἐν ὀνόματι
uniform and being many by-nod of-God and in name
Χριστοῦ τὰς ἀρετὰς ἐνεργεῖ. Τινὸς μὲν γὰρ συγκέχρηται
of-Christ the virtues it-works of-one indeed for it-uses
γλώσσῃ πρὸς σοφίαν. Ἄλλου φωτίζει τὴν ψυχὴν ἐν
tongue for wisdom of-another enlightens the soul in
προφητείᾳ, ἄλλῳ δὲ δίδωσι δύναμιν ἀπελάσαι δαίμονας,
prophecy to-another and gives power to-drive-out demons
ἄλλῳ δὲ δίδωσι ἑρμηνεῦσαι τὰς θείας Γραφάς. Ἄλλου
to-another and gives to-interpret the divine Scriptures of-another
τὴν σωφροσύνην ἐνισχύει, ἄλλον διδάσκει τὰ περὶ
the temperance strengthens another teaches the(-things) about
ἐλεημοσύνης, ἄλλον διδάσκει νηστεύειν καὶ ἀσκεῖν,
almsgiving another teaches to-fast and to-practice-asceticism
ἄλλον διδάσκει καταφρονεῖν τῶν τοῦ σώματος πραγμάτων,
another teaches to-despise the of-the body things
ἄλλον ἑτοιμάζει πρὸς μαρτύριον· ἄλλο ἐν ἄλλοις, αὐτὸ δὲ
another prepares for martyrdom other in others it but
οὐκ ἄλλο ἑαυτοῦ, καθὼς γέγραπται. Ἑκάστῳ δὲ δίδοται
not other than-itself as it-is-written to-each and is-given
ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ μὲν
the manifestation of-the Spirit for the profit to-one indeed

γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ
for through the Spirit is-given word of-wisdom to-another
δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ
and word of-knowledge according-to the same Spirit to-another
δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα
and faith in the same Spirit to-another and gifts
ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα
of-healings in the same Spirit to-another and workings
δυνάμεως· ἄλλῳ δὲ προφητεία· ἄλλῳ δὲ διακρίσεις
of-power to-another and prophecy to-another and discernings
πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν· ἄλλῳ δὲ ἑρμηνεία
of-spirits to-another and kinds of-tongues to-another and interpretation
γλωσσῶν. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ
of-tongues all and these-things works the one and the same
Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.
Spirit dividing severally to-each as it-wills
Ἀλλ᾽ ἐπειδὴ περὶ πνεύματος ἁπλῶς πολλὰ καὶ διάφορα 13
but since about spirit simply many and various-things
γέγραπται ἐν ταῖς θείαις Γραφαῖς· καὶ δέος ἐστὶ μή
are-written in the divine Scriptures and dread there-is lest
ποτέ τις ἐξ ἀγνωσίας εἰς σύγχυσιν ἔλθῃ, ἀγνοῶν περὶ
ever anyone from ignorance into confusion come not-knowing about
ποίου πνεύματός ἐστι τὸ γεγραμμένον· καλῶς ἔχει
what-kind-of spirit is the(-thing) written well it-is
νῦν ἀσφαλίσασθαι, ποῖον λέγει ἡ Γραφὴ εἶναι τὸ ἅγιον.
now to-make-sure what-kind says the Scripture to-be the holy
Ὥσπερ γὰρ καλεῖται χριστὸς Ἀαρών· καὶ Δαβὶδ, καὶ Σαοὺλ,
just-as for is-called anointed Aaron and David and Saul
καὶ ἄλλοι, χριστοὶ καλοῦνται· μόνος δέ ἐστιν ὁ ἀληθινὸς
and others anointed(-ones) are-called only and is the true
Χριστός· οὕτω καὶ τῆς τοῦ πνεύματος προσηγορίας περὶ
Christ so also of-the of-the spirit name about

διαφόρων πραγμάτων εἰρημένης, καλόν ἐστιν ἰδεῖν τί ἐστι
various things said good it-is to-see what is
τὸ ἰδιαζόντως καλούμενον τὸ Πνεῦμα τὸ ἅγιον. Καλεῖται
the(-one) peculiarly called the Spirit the holy are-called
γὰρ πνεύματα πολλά. Καὶ γὰρ καὶ ἄγγελος καλεῖται
for spirits many and for also angel is-called
πνεῦμα· ἡ ψυχὴ ἡμῶν καλεῖται πνεῦμα· καὶ ὁ ἄνεμος οὗτος
spirit the soul our is-called spirit and the wind this
ὁ πνέων, καλεῖται πνεῦμα· καὶ ἀρετὴ μεγάλη, καλεῖται
the(-one) blowing is-called spirit and virtue great is-called
πνεῦμα· καὶ ἀκάθαρτος πρᾶξις καλεῖται πνεῦμα· καὶ δαίμων
spirit and unclean deed is-called spirit and demon
ἀντικείμενος καλεῖται πνεῦμα. Βλέπε τοίνυν ἀκούων ταῦτα,
opposing is-called spirit see therefore hearing these-things
μή ποτε νομίσῃς ἀπὸ τῆς ὁμωνυμίας ἀνθ᾽ ἑτέρου ἕτερον.
lest ever you-think from the homonymy instead-of one another
Περὶ μὲν γὰρ τῆς ψυχῆς τῆς ἡμετέρας, λέγει ἡ Γραφή·
about indeed for the soul the our says the Scripture
Ἐξελύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν
will-go-forth the spirit his and will-return to the earth
αὐτοῦ. Καὶ περὶ τῆς αὐτῆς ψυχῆς λέγει πάλιν· Ὁ
his and about the same soul it-says again the(-one)
πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. Περὶ δὲ τῶν ἀγγέλων
forming spirit of-man in him about and the angels
ἐν Ψαλμοῖς φησιν· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ
in Psalms it-says the(-one) making the angels his
πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Περὶ
spirits and the ministers his of-fire flame about
δὲ τοῦ ἀνέμου φησίν· Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα
and the wind it-says with spirit violent you-will-shatter ships
Θαρσεῖς· καὶ, Ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος
of-Tharsis and in-which manner in thicket tree by spirit

σαλευθῇ· καὶ, Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα
is-shaken and fire hail snow ice spirit
καταιγίδος. Περὶ δὲ τῆς καλῆς διδασκαλίας αὐτὸς ὁ Κύριος
of-tempest about and the good teaching himself the Lord
λέγει· Τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι,
says the words which I have-spoken to-you spirit is
καὶ ζωή ἐστιν· ἀντὶ τοῦ, πνευματικά ἐστι. Τὸ δὲ Πνεῦμα
and life is instead-of the spiritual-things they-are the but Spirit
τὸ ἅγιον οὐ λαλεῖται διὰ γλώσσης· ἀλλὰ ζῶν ἐστι,
the holy not is-spoken through tongue but living it-is
παρέχον σοφῶς λαλεῖν, τὸ λαλοῦν καὶ ὁμιλοῦν αὐτό.
providing wisely to-speak the(-one) speaking and conversing itself
Καὶ θέλεις γνῶναι, ὅτι ὁμιλεῖ καὶ λαλεῖ; Φίλιππος 14
and do-you-wish to-know that it-converses and speaks Philip
ἐξ ἀποκαλύψεως ἀγγέλου κατῆλθεν εἰς τὴν ὁδὸν τὴν
from revelation of-angel went-down to the road the(-one)
ἀποφέρουσαν εἰς Γάζαν, ὅτε ὁ εὐνοῦχος ἤρχετο· καὶ εἶπε τὸ
leading to Gaza when the eunuch was-coming and said the
Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι
Spirit — to-Philip approach and join-yourself to-the chariot
τούτῳ. Βλέπεις λαλοῦν τὸ Πνεῦμα τῷ ἀκούοντι; Καὶ
this you-see speaking the Spirit to-the(-one) hearing and
Ἰεζεκιὴλ λέγει οὕτως· Ἐγένετο ἐπ' ἐμὲ Πνεῦμα Κυρίου, καὶ
Ezekiel says thus came upon me Spirit of-Lord and
εἶπε πρὸς μέ· Τάδε λέγει Κύριος· καὶ πάλιν· Εἶπε τὸ Πνεῦμα
said to me thus says Lord and again said the Spirit
τὸ ἅγιον τοῖς ἐν Ἀντιοχείᾳ ἀποστόλοις· Ἀφορίσατε δή
the holy to-the(-ones) in Antioch apostles separate now
μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον, ὃ
for-me — Barnabas and — Saul for the work to-which
προσκέκλημαι αὐτούς. Βλέπεις Πνεῦμα ζῶν, ἀφορίζον,
I-have-called them you-see Spirit living separating

καὶ προσκαλούμενον, καὶ ἐξουσιαστικῶς ἀποστέλλον. Καὶ
and calling and with-authority sending and
Παῦλος ἔλεγε· Πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ πόλιν
Paul said except that the Spirit the holy in-every city
διαμαρτύρεταί μοι λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν.
testifies to-me saying that bonds and afflictions me await
Ὁ γὰρ καλὸς οὗτος τῆς Ἐκκλησίας ἁγιοποιὸς, καὶ βοηθὸς,
the for good this of-the Church sanctifier and helper
καὶ διδάσκαλος τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Παράκλητος, περὶ
and teacher the Spirit the holy the Paraclete about
οὗ εἶπεν ὁ Σωτήρ· Ἐκεῖνος ὑμᾶς διδάξει πάντα· οὐκ εἶπε,
whom said the Savior that-one you will-teach all-things not he-said
διδάξει, μόνον, ἀλλὰ, καὶ ὑπομνήσει ὅσα εἶπον ὑμῖν· οὐ γὰρ
will-teach only but also will-remind whatever I-said to-you not for
ἄλλα Χριστοῦ διδάγματα καὶ ἄλλα ἁγίου Πνεύματος, ἀλλὰ
other of-Christ teachings and other of-holy Spirit but
τὰ αὐτά· προεμαρτύρατο τῷ Παύλῳ τὰ συμβησόμενα,
the same testified-beforehand — to-Paul the(-things) to-happen
ἵνα εὔθυμος γένηται μᾶλλον ἀπὸ τοῦ προειδέναι. Ταῦτα
that cheerful he-may-become rather from the to-foreknow these-things
δὲ ὑμῖν εἴρηται διὰ τὸ λεχθέν· Τὰ ῥήματα ἃ
and to-you have-been-said because-of the(-thing) said the words which
ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστιν· ἵνα μὴ λαλιὰν χειλέων
I have-spoken to-you spirit is that not talk of-lips
τοῦτο εἶναι νομίσῃς, ἀλλὰ τὴν καλὴν διδασκαλίαν.
this to-be you-think but the good teaching
15 Ἐνταῦθα καλεῖται δὲ πνεῦμα καὶ ἡ ἁμαρτία, καθὼς
here is-called and spirit also the sin as
εἰρήκαμεν· ἀλλὰ καὶ ἑτέρως καὶ ἐναντίως, ὡς ὅταν λέγῃ·
we-have-said but also otherwise and contrarily as when it-says
Πνεύματι πορνείας ἐπλανήθησαν. Καλεῖται πνεῦμα καὶ τὸ
by-spirit of-fornication they-went-astray is-called spirit also the

ἀκάθαρτον πνεῦμα, ὁ δαίμων· ἀλλὰ μετὰ προσθήκης, τὸ
unclean spirit the demon but with addition the
ἀκάθαρτον. ἑκάστῳ γὰρ πρόσκειται ἡ ἐπωνυμία, ἵνα τὸ
unclean to-each for is-added the surname that the
ἴδιον δηλώσῃ. Ἐὰν περὶ ψυχῆς ἀνθρώπου λέγῃ, τὸ πνεῦμα·
peculiar it-may-show if about soul of-man it-speaks the spirit
μετὰ προσθήκης, τοῦ ἀνθρώπου, λέγει· ἐὰν τὸν ἄνεμον
with addition of-the man it-says if the wind
λέγῃ, πνεῦμα καταιγίδος λέγει· ἐὰν τὴν ἁμαρτίαν λέγῃ,
it-speaks spirit of-tempest it-says if the sin it-speaks
πνεῦμα πορνείας λέγει· ἐὰν τὸν δαίμονα λέγῃ, πνεῦμα
spirit of-fornication it-says if the demon it-speaks spirit
ἀκάθαρτον λέγει· ἵνα γνῶμεν περὶ τίνος ἑκάστου ἐστὶν
unclean it-says that we-may-know about what each is
ὁ λόγος, καὶ μὴ νομίσῃς περὶ τοῦ ἁγίου τούτου εἶναι· μὴ
the word and not you-think about the holy this to-be not
γένοιτο! Τὸ γὰρ τοῦ πνεύματος ὄνομα τοῦτο, μέσον ἐστί·
may-it-be the for of-the spirit name this common is
καὶ πᾶν, ὃ μὴ ἔχει παχὺ σῶμα, καθολικῶς πνεῦμα
and everything that not has thick body generally spirit
καλεῖται. Ἐπεὶ τοίνυν καὶ οἱ δαίμονες οὐκ ἔχουσι τοιαῦτα
is-called since therefore also the demons not have such
σώματα, πνεύματα καλοῦνται· ἀλλὰ πολλή τίς ἐστιν ἡ
bodies spirits they-are-called but great some is the
διαφορά. Ὁ μὲν γὰρ ἀκάθαρτος δαίμων, ὅταν ἔρχηται
difference the indeed for unclean demon when it-comes
ἐπὶ ψυχὴν ἀνθρώπου (ῥύσαιτο δὲ τούτου ὁ Κύριος πᾶσαν
upon soul of-man (may-rescue and from-this the Lord every
ψυχὴν τῶν ἀκουόντων, καὶ τῶν μὴ παρόντων), ὡς
soul of-the(-ones) hearing and of-the(-ones) not present) as
λύκος αἱμοβόρος ἕτοιμος εἰς βορὰν ἐπὶ πρόβατον, ἔρχεται·
wolf blood-devouring ready for food upon sheep it-comes

ἀγριωτάτη ἡ παρουσία, βαρυτάτη ἡ αἴσθησις, σκοτώδης
most-savage the presence most-heavy the sensation dark
ἡ διάνοια γίνεται· καὶ ἡ ἔφοδος ἄδικος, καὶ ἡ ἁρπαγὴ
the mind becomes and the onset unjust and the seizure
ἀλλοτρίου κτήματος· σώματι γὰρ ἀλλοτρίῳ, ὡς ἰδίῳ
of-another's possession a-body for another's as own
κεχρῆσθαι βιάζεται, καὶ ὀργάνῳ ἀλλοτρίῳ. Τὸν ἑστῶτα
to-use it-forces and instrument another's the(-one) standing
καταβάλλει (οἰκεῖος γάρ ἐστι τοῦ πεσόντος ἐξ οὐρανοῦ),
it-throws-down (akin for it-is to-the(-one) having-fallen from heaven)
παρατρέπει τὴν γλῶσσαν, στρεβλοῖ τὰ χείλη· ἀφρὸς ἀντὶ
it-twists the tongue distorts the lips foam instead-of
ῥημάτων· σκοτοῦται ὁ ἄνθρωπος, ἤνοικται ὁ ὀφθαλμὸς,
words is-darkened the man is-opened the eye
καὶ δι' αὐτοῦ οὐ βλέπει ἡ ψυχή· καὶ σπαίρει τρομικῶς
and through it not sees the soul and convulses tremblingly
ὁ ἄθλιος ἄνθρωπος πρὸ θανάτου. Ἐχθροὶ τῶν ἀνθρώπων
the wretched man before death enemies of-the men
ἀληθῶς οἱ δαίμονες, αἰσχρῶς κεχρημένοι καὶ ἀνηλεῶς.
truly the demons shamefully using(-them) and mercilessly
16 Οὐκ ἔστι τοιοῦτο τὸ Πνεῦμα τὸ ἅγιον· μὴ γένοιτο!
not is such the Spirit the holy not may-it-be
ἀπεναντίας γὰρ, πρὸς τὸ ἀγαθὸν καὶ σωτηριώδες ἔχει τὰ
on-the-contrary for toward the good and saving it-has the
πράγματα. Πρῶτον μὲν ἥμερος ἡ παρουσία, εὐώδης ἡ
things first indeed gentle the presence fragrant the
ἀντίληψις, κουφότατον τὸ φορτίον· προκαταστράπτουσιν
perception lightest the burden flash-before
ἀκτῖνες φωτὸς καὶ γνώσεως, πρὸ τῆς παρουσίας.
rays of-light and knowledge before the presence
Κηδεμόνος γνησίου σπλάγχνα ἔχον ἔρχεται· ἔρχεται γὰρ
of-guardian genuine heart having it-comes it-comes for

σῶσαι, καὶ ἰάσασθαι, διδάξαι, νουθετῆσαι, ἐνισχύσαι,
to-save and to-heal to-teach to-admonish to-strengthen
παρακαλέσαι, φωτίσαι τὴν διάνοιαν, πρώτου αὐτοῦ τοῦ
to-exhort to-enlighten the mind first of-himself the(-one)
δεχομένου, εἶτα δι᾽ αὐτοῦ καὶ τῶν ἄλλων. Καὶ ὥσπερ
receiving then through him also of-the others and just-as
ἐν σκότει πρότερόν τις ὤν, εἶτα ἐξαίφνης ἥλιον ἰδὼν,
in darkness formerly someone being then suddenly sun having-seen
φωτίζεται τοῦ σώματος τὸ βλέμμα, καὶ βλέπει, ἃ μὴ
is-enlightened of-the body the sight and sees what not
ἔβλεπε, φανερῶς· οὕτω καὶ ὁ τοῦ ἁγίου Πνεύματος
he-saw manifestly so also the(-one) of-the holy Spirit
καταξιωθεὶς, φωτίζεται τὴν ψυχὴν, καὶ ὑπὲρ ἄνθρωπον
deemed-worthy is-enlightened the soul and beyond man
βλέπει ἃ μὴ ᾔδει. Ἐπὶ γῆς τὸ σῶμα, καὶ ἡ ψυχὴ
sees what not he-knew on earth the body and the soul
κατοπτρίζεται τοὺς οὐρανούς. Βλέπει, ὡς Ἡσαΐας, τὸν
beholds-as-in-a-mirror the heavens he-sees as Isaiah the
Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ
Lord sitting on throne high and lifted-up and
βλέπει, ὡς Ἰεζεκιὴλ, τὸν ἐπὶ τῶν χερουβίμ· βλέπει, ὡς
sees as Ezekiel the(-one) on the cherubim sees as
Δανιὴλ, μυριάδας μυριάδων καὶ χιλιάδας χιλιάδων· καὶ ὁ
Daniel myriads of-myriads and thousands of-thousands and the
μικρὸς ἄνθρωπος ἀρχὴν κόσμου βλέπει, καὶ τέλος κόσμου,
small man beginning of-world sees and end of-world
καὶ μεσότητα χρόνων, καὶ βασιλέων διαδοχὰς οἶδεν· ἃ μὴ
and middle of-times and of-kings successions knows which not
ἔμαθε· πάρεστι γὰρ ὁ ἀληθινὸς φωταγωγός. Ἔσω τοίχων
he-learned is-present for the true enlightener within walls

ὁ ἄνθρωπος, καὶ ἡ δύναμις τῆς γνώσεως ἐκπέμπεται
the man and the power of-the knowledge is-sent-out
μακρὰν, καὶ βλέπει καὶ τὰ ὑπὸ ἄλλων γινόμενα.
far and sees even the(-things) by others happening
17 Οὐ συμπαρῆν Πέτρος, Ἀνανίᾳ καὶ Σαπφείρῃ πωλοῦσι τὰ
not was-present-with Peter Ananias and Sapphira selling the
κτήματα, ἀλλὰ διὰ τοῦ Πνεύματος παρῆν. Διὰ τί,
possessions but through the Spirit he-was-present for what
φησὶν, ὁ Σατανᾶς ἐπλήρωσε τὴν καρδίαν σου, ψεύσασθαί
he-says — Satan filled the heart your to-lie-to
σε τὸ Πνεῦμα τὸ ἅγιον; Κατήγορος οὐκ ἦν· μάρτυς
you the Spirit the holy accuser not there-was witness
οὐκ ἦν· πόθεν ᾔδει τὸ γεγενημένον; Οὐχὶ μένον
not there-was whence knew-he the(-thing) having-happened not remaining
σοι ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί, ὅτι
to-you it-remained and sold in the your power it-was why that
ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; Ὁ ἀγράμματος
you-put in the heart your the thing this the unlettered
Πέτρος διὰ τὴν τοῦ Πνεύματος χάριν ἔμαθεν, ἃ μὴ
Peter because-of the of-the Spirit grace learned what not
ᾔδεισαν μήτε Ἑλλήνων οἱ σοφοί. Ἔχεις τὸ ὅμοιον καὶ
knew not-even of-Greeks the wise you-have the like also
ἐπὶ τοῦ Ἐλισσαίου. Δωρεὰν γὰρ αὐτοῦ θεραπεύσαντος τὴν
in — Elisha freely for he having-healed the
λέπραν τοῦ Ναιμᾶν, ἔλαβεν ὁ Γιεζὶ τὸν μισθὸν, ἀλλοτρίων
leprosy — of-Naaman took — Giezi the wage of-another's
κατορθωμάτων τὸν μισθὸν λαμβάνων· καὶ λαμβάνει παρὰ
achievements the wage taking and he-takes from
τοῦ Ναιμᾶν τὰ χρήματα, καὶ τίθησιν ἐν τῷ σκοτεινῷ.
— Naaman the money and puts-it in the dark
Ἀλλὰ τὸ σκότος οὐ σκοτίζεται ἀπὸ τῶν ἁγίων· καὶ
but the darkness not is-dark from the saints and

ἐλθόντα αὐτὸν ἠρώτα ὁ Ἐλισσαῖος· καὶ ὁμοίως τῷ
having-come him asked — Elisha and likewise —
Πέτρῳ λέγοντι. Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;
to-Peter saying tell me if for-so-much the land you-sold
κἀκεῖνος ἐξετάζει· Πόθεν, Γιεζί; οὐκ ἀγνοῶν τὸ, πόθεν,
and-he examines whence Giezi not not-knowing the whence
ἀλλὰ πενθῶν τὸ, πόθεν; Ἀπὸ σκότους ἦλθες, καὶ εἰς σκότος
but mourning the whence from darkness you-came and into darkness
πορεύσῃ. Πέπρακας τοῦ λεπροῦ τὴν ἴασιν, καὶ κληρονομεῖς
you-will-go you-have-sold of-the leper the healing and you-inherit
τὴν λέπραν. Ἐπλήρωσα, φησὶν, ἐγὼ τὸ κέλευσμα τοῦ
the leprosy I-fulfilled he-says I the command of-the(-one)
εἰρηκότος μοι· Δωρεὰν ἐλάβετε, δωρεὰν δότε· σὺ δὲ
having-said to-me freely you-received freely give you but
ἐπώλησας τὴν χάριν, ἀπόδεξαι τῆς πράσεως τὴν ὑπόθεσιν.
sold the grace receive of-the sale the consequence
Ἀλλὰ τί λέγει πρὸς αὐτὸν ὁ Ἐλισσαῖος; Οὐχὶ ἡ καρδία
but what says to him — Elisha not the heart
μου ἐπορεύθη μετὰ σοῦ; ὧδε ἤμην ἐγὼ περικεκλεισμένος
my went with you here was I shut-in
τῷ σώματι· ἀλλὰ τὸ πνεῦμα, τὸ ὑπὸ τοῦ Θεοῦ
by-the body but the spirit the(-one) by — God
μοι δοθὲν, ἔβλεπε καὶ τὰ μακρὰν, καὶ τὰ
to-me given saw even the(-things) far-off and the(-things)
ἀλλαχοῦ γινόμενα σαφῶς ἐδείκνυέ μοι. Βλέπεις, πῶς οὐ
elsewhere happening clearly showed to-me you-see how not
μόνον περιαιρεῖ τὴν ἀγνωσίαν, ἀλλὰ καὶ γνῶσιν ἐντίθησι,
only it-removes the ignorance but also knowledge it-puts-in
βλέπεις, πῶς φωτίζει τὰς ψυχὰς τὸ Πνεῦμα τὸ ἅγιον.
you-see how enlightens the souls the Spirit the holy

18 Ἡσαΐας ἐτῶν ἐγγὺς ἦν πρὸ χιλίων, καὶ ἔβλεπεν ὡς σκηνὴν
Isaiah years nearly was before thousand and saw as booth
τὴν Σιών· ἡ πόλις ἦν ἔτι συνεστηκυῖα, καὶ ἀγοραῖς
— Sion the city was still standing and with-markets
κεκαλλωπισμένη, καὶ τὸ ἀξίωμα περιβεβλημένη· κἀκεῖνο
adorned and the dignity clothed-with and-that
λέγει· Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται· προλέγων τὸ νῦν
he-says Sion as field will-be-plowed foretelling the(-thing) now
ἐφ᾽ ἡμῶν πληρωθέν. Καὶ τὸ ἀκριβὲς ὅρα τῆς προφητείας·
in our(-time) fulfilled and the exactness see of-the prophecy
εἶπε γάρ· Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ
he-said for will-be-left the daughter of-Sion as booth
ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ· καὶ
in vineyard and as fruit-watcher's-hut in cucumber-field and
σικυηλάτων νῦν ὁ τόπος πεπλήρωται. Βλέπεις, πῶς φωτίζει
with-cucumber-fields now the place has-been-filled you-see how enlightens
τοὺς ἁγίους τὸ Πνεῦμα τὸ ἅγιον; Μὴ τοίνυν διὰ τὴν
the saints the Spirit the holy not therefore because-of the
ὁμωνυμίαν εἰς ἄλλα ἀπελασθῇς, ἀλλὰ τήρει τὸ ἀκριβές.
homonymy to other-things be-driven-away but keep the exactness
19 Εἰ δέ ποτε, σοῦ καθεζομένου, περὶ ἁγνείας ἢ παρθενίας
if and ever you sitting about chastity or virginity
ὑπεισῆλθέ σοι λογισμὸς, ἐκείνου ἐστὶ ἡ διδασκαλία. Οὐχὶ
crept-into you thought that-one's is the teaching not
πολλάκις κόρη, παρὰ παστάδας οὖσα νυμφικὰς, ἔφυγεν,
often maiden at bridal-chambers being nuptial fled
ἐκείνου διδάσκοντος τὰ περὶ παρθενίας; οὐχὶ πολλάκις
that-one teaching the(-things) about virginity not often
ἄνθρωπος ἐν παλατίοις διαπρέπων, κατέπτυσε πλούτου
man in palaces distinguished spat-upon wealth
καὶ ἀξίας, διδαχθεὶς ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου; οὐχὶ
and rank taught by the Spirit the holy not

πολλάκις νέος, ὁρῶν κάλλος, ἐκάμμυσε τὸ βλέμμα, καὶ
often young-man seeing beauty closed the sight and
ἔφυγε τὸ ἰδεῖν, καὶ ἐξέφυγε τὸν μολυσμόν; Πόθεν γέγονε
fled the to-see and escaped the defilement whence has-happened
τοῦτο, ζητεῖς; Τὸ Πνεῦμα τὸ ἅγιον ἐδίδαξε τοῦ νέου τὴν
this do-you-ask the Spirit the holy taught of-the young-man the
ψυχήν. Τοσαῦται πλεονεξίαι ἐν κόσμῳ, καὶ ἀκτημονοῦσι
soul so-many covetousnesses in world and own-nothing
Χριστιανοί. Διὰ τί; Διὰ τὴν τοῦ Πνεύματος ἐπαγγελίαν.
Christians for what because-of the of-the Spirit promise
Τίμιον ὡς ἀληθῶς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀγαθόν·
precious as truly the Spirit the holy the good
εἰκότως βαπτιζόμεθα εἰς Πατέρα, καὶ εἰς Υἱὸν, καὶ εἰς
fittingly we-are-baptized into Father and into Son and into
ἅγιον Πνεῦμα. Ἄνθρωπος ἔτι σῶμα φορῶν, δαίμοσιν
holy Spirit man still body wearing with-demons
ἀγριωτάτοις πολλοῖς παλαίει· καὶ πολλάκις ὁ δαίμων,
most-savage many wrestles and often the demon
ὁ σιδηραίοις δεσμοῖς ὑπὸ πολλῶν μὴ κρατούμενος,
the(-one) with-iron bonds by many not held
λόγοις εὐχῆς ἐκρατήθη ὑπ᾽ αὐτοῦ, διὰ τὴν ἐν αὐτῷ
by-words of-prayer was-held by him because-of the in him
δύναμιν τοῦ ἁγίου Πνεύματος· καὶ τὸ ἁπλοῦν ἐμφύσημα
power of-the holy Spirit and the simple breathing-upon
τοῦ ἐπορκίζοντος, πῦρ γίνεται τῷ μὴ φαινομένῳ.
of-the(-one) exorcising fire becomes to-the(-one) not appearing
Μέγαν τοίνυν ἔχομεν παρὰ Θεοῦ σύμμαχον καὶ προστάτην,
great therefore we-have from God ally and protector
μέγαν διδάσκαλον Ἐκκλησίας, μέγαν ὑπερασπιστὴν ὑπὲρ
great teacher of-Church great champion on-behalf-of
ἡμῶν. Μὴ φοβηθῶμεν τοὺς δαίμονας, μήτε τὸν διάβολον·
us not let-us-fear the demons nor the devil

μείζων γὰρ ὁ ἡμῶν ὑπεραγωνιστής· μόνον ἀνοίξωμεν
greater for the our champion only let-us-open
αὐτῷ τὰς θύρας· περιέρχεται γὰρ ζητῶν τοὺς ἀξίους, καὶ
to-him the doors he-goes-about for seeking the worthy and
ζητῶν τίνι χαρίσηται τὰς δωρεάς.
seeking to-whom he-may-grant the gifts
20 Παράκλητος δὲ καλεῖται, διὰ τὸ παρακαλεῖν καὶ
Paraclete and it-is-called because-of the to-exhort and
παραμυθεῖσθαι, καὶ συναντιλαμβάνεσθαι τῆς ἀσθενείας
to-console and to-help-with the weakness
ἡμῶν. Τὸ γὰρ, τί προσευξόμεθα καθ' ὃ δεῖ,
our the for what we-shall-pray according-to what it-is-needful
οὐκ οἴδαμεν· ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ
not we-know but itself the Spirit intercedes on-behalf-of
ἡμῶν στεναγμοῖς ἀλαλήτοις· δῆλον δὲ, ὅτι πρὸς τὸν Θεόν.
us with-groanings unspeakable clear and that to — God
Πολλάκις, διὰ Χριστὸν ὑβρισθεὶς, ἠτιμάσθη τις ἀδίκως·
often for Christ outraged was-dishonored someone unjustly
μαρτύριον ἐφέστηκε· βάσανοι πανταχόθεν, καὶ πῦρ, καὶ
martyrdom stands-near tortures from-every-side and fire and
ξίφη, καὶ θῆρες, καὶ βυθός· ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον
swords and beasts and deep but the Spirit the holy
ὑποφθέγγεται, λέγον· Ὑπόμεινον τὸν Κύριον, ἄνθρωπε· μικρὰ
whispers saying wait-for the Lord O-man small
τὰ γινόμενα, μεγάλα τὰ δωρούμενα· ὀλίγον χρόνον
the(-things) happening great the(-things) given little time
καμὼν, αἰωνίως εἶναι μέλλεις μετὰ ἀγγέλων· Οὐκ ἄξια
having-toiled eternally to-be you-are-about with angels not worthy
τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν
the sufferings of-the present time toward the coming glory
ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Διαγράφει τῷ ἀνθρώπῳ βασιλείαν
to-be-revealed in us it-depicts to-the man kingdom

οὐρανῶν, ὑποδείκνυσι καὶ τὸν παράδεισον τῆς τρυφῆς· καὶ
of-heavens shows also the paradise of-the delight and
οἱ μάρτυρες, τὰ πρόσωπα μὲν τοῦ σώματος πρὸς τοὺς
the martyrs the faces indeed of-the body toward the
δικαστὰς ἐξ ἀνάγκης ἔχοντες, τῇ δὲ δυνάμει λοιπὸν ὄντες
judges of necessity having in-the but power henceforth being
ἐν παραδείσῳ, κατέπτυσαν τῶν φαινομένων χαλεπῶν.
in paradise spat-upon the visible hardships
Καὶ θέλεις γνῶναι, ὅτι τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος 21
and do-you-wish to-know that by-the power of-the holy Spirit
οἱ μάρτυρες μαρτυροῦσι; Λέγει πρὸς τοὺς μαθητὰς ὁ
the martyrs bear-witness says to the disciples the
Σωτήρ· Ὅταν δὲ φέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς,
Savior when and they-bring you before the synagogues
καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας· μὴ μεριμνήσητε, πῶς
and the rulers and the authorities not be-anxious how
ἀπολογήσησθε, ἢ τί εἴπητε. Τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει
you-may-defend or what you-may-say the for holy Spirit will-teach
ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. Ἀδύνατον γὰρ
you in very the hour what it-is-needful to-say impossible for
μαρτυρῆσαι περὶ τοῦ Χριστοῦ, ἐὰν μή τις διὰ Πνεύματος
to-bear-witness about — Christ if not anyone through Spirit
ἁγίου μαρτυρήσῃ. Εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν Κύριον
holy bear-witness if for no-one can to-say Lord
Ἰησοῦν Χριστὸν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ· τὴν ζωὴν ἄρα τίς
Jesus Christ if not in Spirit holy the life then who
ἑαυτοῦ δίδωσιν ὑπὲρ Ἰησοῦ, ἐὰν μὴ ἐν Πνεύματι ἁγίῳ;
his-own gives on-behalf-of Jesus if not in Spirit holy
Μέγα τί ἐστι, καὶ παντοδύναμον ἐν χαρίσμασι καὶ 22
great something is and all-powerful in gifts and
θαυμάσιον, τὸ ἅγιον Πνεῦμα. Λόγισαι, πόσοι καθέζεσθε νῦν,
wonderful the holy Spirit reckon how-many you-sit now

πόσαι ψυχαὶ πάρεσμεν. Ἑκάστῳ προσφόρως ἐνεργεῖ· καὶ
how-many souls we-are-present to-each suitably it-works and
μέσον παρὸν, βλέπει ἑκάστου τὸν τρόπον, βλέπει καὶ
in-the-midst being-present it-sees of-each the manner sees also
τὸν λογισμὸν καὶ τὴν συνείδησιν, καὶ τί λαλοῦμεν καὶ τί
the thought and the conscience and what we-speak and what
νοοῦμεν. Μέγα μὲν ἀληθῶς τὸ ῥηθὲν, ἀλλ᾽ ἔτι μικρόν.
we-think great indeed truly the(-thing) said but still small
Βλέπε γάρ μοι, τὴν διάνοιαν φωταγωγηθεὶς ὑπ᾽ αὐτοῦ,
see for for-me the mind enlightened by it
πόσοι εἰσὶ Χριστιανοὶ τῆς παροικίας ταύτης πάσης, καὶ
how-many are Christians of-the diocese this whole and
πόσοι τῆς ἐπαρχίας πάσης τῆς Παλαιστίνης. Καὶ πλάτυνον
how-many of-the province whole — of-Palestine and broaden
τὸν νοῦν ἀπὸ τῆς ἐπαρχίας εἰς τὴν Ῥωμαίων πᾶσαν
the mind from the province to the of-Romans whole
βασιλείαν· καὶ ἐκ ταύτης, βλέπε μοι πάντα τὸν κόσμον·
empire and from this see for-me all the world
Περσῶν γένη, καὶ Ἰνδῶν ἔθνη, Γότθους, καὶ Σαυρομάτας,
of-Persians races and of-Indians nations Goths and Sauromatians
Γάλλους, καὶ Ἱσπανοὺς, καὶ Μαύρους, Λίβυας, καὶ Αἰθίοπας,
Gauls and Spaniards and Moors Libyans and Ethiopians
καὶ τοὺς λοιποὺς ἀκατωνομάστους ἡμῖν· πολλὰ γὰρ τῶν
and the others unnamed to-us many for of-the
ἐθνῶν οὐδ᾽ εἰς ὀνομασίαν ἡμῖν ἦλθε. Βλέπε μοι ἑκάστου
nations not-even into naming to-us came see for-me of-each
ἔθνους ἐπισκόπους, πρεσβυτέρους, διακόνους, μονάζοντας,
nation bishops presbyters deacons monks
παρθένους, καὶ λοιποὺς λαϊκούς· καὶ βλέπε τὸν μέγαν
virgins and other laymen and see the great
προστάτην, καὶ τῶν χαρισμάτων πάροχον· ὅπως ἐν παντὶ
protector and of-the gifts provider how in all

τῷ κόσμῳ, τῷ μὲν ἁγνείαν, τῷ δὲ ἀειπαρθενίαν, ἄλλῳ
the world to-one indeed chastity to-another and perpetual-virginity to-another
δὲ ἐλεημοσύνην, ἄλλῳ δὲ ἀκτημοσύνην, ἄλλῳ δὲ ἀπέλασιν
and almsgiving to-another and poverty to-another and driving-out
πνευμάτων ἀντικειμένων δίδωσι. Καὶ ὥσπερ τὸ φῶς μιᾷ
of-spirits opposing it-gives and just-as the light with-one
τῆς ἀκτῖνος προσβολῇ καταυγάζει τὰ πάντα· οὕτω καὶ
of-the ray stroke illuminates the all-things so also
τὸ Πνεῦμα τὸ ἅγιον, φωτίζει τοὺς ἔχοντας ὀφθαλμούς·
the Spirit the holy enlightens the(-ones) having eyes
εἰ γάρ τις ἀβλεπτῶν μὴ καταξιοῦται τῆς χάριτος, μὴ
if for anyone being-blind not is-deemed-worthy of-the grace not
μεμφέσθω τῷ Πνεύματι, ἀλλὰ τῇ ἑαυτοῦ ἀπιστίᾳ.
let-him-blame the Spirit but the his-own unbelief
Εἶδες αὐτοῦ τὴν δύναμιν, τὴν ἐν παντὶ τῷ κόσμῳ. 23
you-saw its the power the(-power) in all the world
Μὴ μείνῃς λοιπὸν ἐπὶ γῆς, καὶ ἐπὶ τὰ ἄνω ἀνάβηθι·
not remain henceforth on earth and to the(-things) above go-up
ἀνάβηθί μοι τῇ διανοίᾳ καὶ εἰς πρῶτον οὐρανὸν, καὶ
go-up for-me in-the mind also to first heaven and
βλέπε μοι τοσαύτας ἐκεῖ μυριάδας ἀναριθμήτους ἀγγέλων.
see for-me so-many there myriads countless of-angels
Ὑπερανάβηθι τοῖς λογισμοῖς, εἰ δύνασαι, καὶ ἀνωτέρω·
go-up-further in-the thoughts if you-can and higher
βλέπε μοι καὶ ἀρχαγγέλους, βλέπε μοι καὶ πνεύματα·
see for-me also archangels see for-me also spirits
βλέπε δυνάμεις, βλέπε ἀρχὰς, βλέπε ἐξουσίας, βλέπε
see powers see principalities see authorities see
θρόνους, βλέπε κυριότητας. Τούτων πάντων ἐπιστάτης
thrones see dominions of-these all overseer
παρὰ Θεοῦ, καὶ διδάσκαλος, καὶ ἁγιοποιὸς ὁ Παράκλητος.
from God and teacher and sanctifier the Paraclete

Τούτου χρείαν ἔχει Ἠλίας, καὶ Ἐλισσαῖος, καὶ Ἡσαΐας, ἐν
of-this need has Elijah and Elisha and Isaiah among
ἀνθρώποις τούτου χρείαν ἔχει Μιχαὴλ, καὶ Γαβριὴλ, ἐν
men of-this need has Michael and Gabriel among
ἀγγέλοις. Οὐδὲν αὐτῷ τῶν γεννητῶν ἰσότιμον· τὰ γὰρ
angels nothing to-it of-the(-things) begotten equal-in-honor the for
τῶν ἀγγέλων γένη, καὶ αἱ στρατιαὶ πᾶσαι ὁμοῦ συναχθεῖσαι,
of-the angels races and the hosts all together gathered
οὐ φέρουσιν ἰσότητα πρὸς τὸ ἅγιον Πνεῦμα· καλύπτει
not bear equality toward the holy Spirit covers
ταῦτα πάντα τοῦ Παρακλήτου ἡ πανάγαθος δύναμις. Καὶ
these-things all of-the Paraclete the all-good power and
τὰ μέν ἐστιν εἰς λειτουργίαν ἀποστελλόμενα, τὸ δὲ
the(-ones) indeed are for ministry sent the(-Spirit) but
ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ, καθὼς ὁ Ἀπόστολός φησι·
searches even the depths — of-God as the Apostle says
Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.
the for Spirit all-things searches even the depths — of-God
Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ
who for knows of-men the(-things) of-the man if not the
πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ
spirit of-the man the(-one) in him so also the(-things)
τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.
— of-God no-one has-known if not the Spirit — of-God
24 Τοῦτο περὶ Χριστοῦ ἐκήρυξεν ἐν προφήταις· τοῦτο
this about Christ proclaimed in prophets this
ἐνήργησεν ἐν ἀποστόλοις· τοῦτο μέχρι σήμερον ἐν
worked in apostles this until today in
βαπτίσματι σφραγίζει τὰς ψυχάς. Καὶ Πατὴρ μὲν δίδωσιν
baptism seals the souls and Father indeed gives
Υἱῷ, καὶ Υἱὸς μεταδίδωσιν ἁγίῳ Πνεύματι. Αὐτὸς γάρ
to-Son and Son imparts to-holy Spirit he for

ἐστιν ὁ Ἰησοῦς ὁ λέγων, οὐχ ἐγώ· Πάντα μοι
is — Jesus the(-one) saying not I all-things to-me
παρεδόθη ὑπὸ τοῦ Πατρός μου. καὶ περὶ τοῦ ἁγίου
were-handed-over by the Father my and about the holy
Πνεύματος λέγει· Ὅταν ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς
Spirit he-says when comes that-one the Spirit of-the
ἀληθείας, καὶ τὰ ἑξῆς, ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ
truth and the next that-one me will-glorify because from
τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν. Ὁ Πατὴρ δι᾽
the mine it-takes and will-announce to-you the Father through
Υἱοῦ, σὺν ἁγίῳ Πνεύματι, τὰ πάντα χαρίζεται. Οὐκ
Son with holy Spirit the all-things grants not
ἄλλα Πατρὸς χαρίσματα, καὶ ἄλλα Υἱοῦ, καὶ ἄλλα ἁγίου
other of-Father gifts and other of-Son and other of-holy
Πνεύματος· μία γὰρ ἡ σωτηρία, μία ἡ δύναμις, μία
Spirit one for the salvation one the power one
ἡ πίστις. Εἷς Θεὸς, ὁ Πατήρ· εἷς Κύριος, ὁ μονογενὴς
the faith one God the Father one Lord the only-begotten
αὐτοῦ Υἱός· ἓν τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Παράκλητος. Καὶ
his Son one the Spirit the holy the Paraclete and
αὔταρκες ἡμῖν εἰδέναι ταῦτα· φύσιν δὲ ἢ ὑπόστασιν μὴ
sufficient for-us to-know these-things nature and or substance not
πολυπραγμόνει. Εἰ γὰρ ἦν γεγραμμένον, ἐλέγομεν· ὃ
pry-into if for it-were written we-would-say what
οὐ γέγραπται, μὴ τολμήσωμεν. Αὔταρκες ἡμῖν εἰδέναι πρὸς
not is-written not let-us-dare sufficient for-us to-know for
σωτηρίαν, ὅτι ἔστι Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα.
salvation that there-is Father and Son and holy Spirit
Τοῦτο τὸ Πνεῦμα κατῆλθεν ἐπὶ τοὺς ἑβδομήκοντα 25
this the Spirit came-down upon the seventy
πρεσβυτέρους ἐπὶ Μωϋσέως (ἀλλὰ τὸ μῆκος τῶν λόγων,
elders under Moses (but the length of-the words

ἀγαπητοὶ, μὴ κάματον ὑμῖν ἐμποιείτω. Παράσχοι δὲ αὐτὸ
beloved not weariness in-you let-it-produce may-grant and it
περὶ οὗ ὁ λόγος, δύναμιν ἑκάστῳ, καὶ τῶν λεγόντων
about which the word power to-each both of-the(-ones) speaking
ἡμῶν, καὶ ὑμῶν τῶν ἀκουόντων). Τοῦτο τὸ Πνεῦμα
us and you the(-ones) hearing) this the Spirit
κατῆλθεν, ὡς ἔφην, ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους
came-down as I-said upon the seventy elders
τοὺς ἐπὶ Μωϋσέως. Λέγω δὲ ταῦτά σοι, ἵνα παραστήσω
the(-ones) under Moses I-say and these-things to-you that I-may-establish
νῦν, ὅτι οἶδε τὰ πάντα, καὶ ἐνεργεῖ καθὼς βούλεται.
now that it-knows the all-things and works as it-wills
Ἐξελέχθησαν οἱ ἑβδομήκοντα πρεσβύτεροι· καὶ κατέβη
were-chosen the seventy elders and came-down
Κύριος ἐν νεφέλῃ, καὶ παρείλατο ἀπὸ τοῦ Πνεύματος τοῦ
Lord in cloud and took from the Spirit the(-one)
ἐπὶ Μωϋσέως, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας
upon Moses and put upon the seventy men
τοὺς πρεσβυτέρους· οὐ τοῦ Πνεύματος μερισθέντος, ἀλλὰ
the elders not the Spirit being-divided but
τῆς χάριτος μερισθείσης πρὸς τὰ δοχεῖα, καὶ τὴν τῶν
the grace being-divided according-to the vessels and the of-the(-ones)
δεχομένων δύναμιν. Ἀλλ' ἑξήκοντα μὲν καὶ ὀκτὼ παρῆσαν,
receiving capacity but sixty indeed and eight were-present
καὶ προεφήτευσαν· Ἐλδὰδ δὲ καὶ Μωδὰδ οὐ παρῆσαν. Ἵνα
and prophesied Eldad and also Modad not were-present that
τοίνυν δειχθῇ, ὅτι οὐ Μωϋσῆς ἦν ὁ χαριζόμενος,
therefore may-be-shown that not Moses was the(-one) granting
ἀλλὰ τὸ Πνεῦμα τὸ ἐνεργοῦν· Ἐλδὰδ καὶ Μωδὰδ, οἳ
but the Spirit the(-one) working Eldad and Modad who
κληθέντες μὲν οὔπω δὲ ἦσαν ἀπαντήσαντες, προφητεύουσιν.
called indeed not-yet but were having-come prophesy

Ἐξεπλάγη Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ διάδοχος Μωϋσέως, 26
was-amazed Jesus the(-son) — of-Naue the successor of-Moses
καὶ προσελθὼν λέγει τῷ Μωϋσῇ. Ἤκουσας, ὅτι Ἐλδὰδ καὶ
and having-approached says — to-Moses did-you-hear that Eldad and
Μωδὰδ προφητεύουσιν; Ἐκλήθησαν, καὶ οὐκ ἀπήντησαν·
Modad prophesy they-were-called and not came
Κύριέ μου Μωϋσῆ, κώλυσον αὐτούς. Οὐ δύναμαι κωλῦσαι
lord my Moses forbid them not I-can to-forbid
αὐτοὺς, φησίν· ἐπουράνιος γὰρ ἡ χάρις· καὶ τοσοῦτον
them he-says heavenly for the grace and so-far
ἀπέχω τοῦ κωλῦσαι αὐτοὺς, ὥστε καὶ αὐτὸς κατὰ χάριν
I-am-from the to-forbid them that also I by grace
ἔχω. Ἀλλ᾽ οὐ νομίζω σε τοῦτο φθόνῳ εἰρηκέναι. Μὴ
have(-it) but not I-think you this from-envy to-have-said not
ζηλοῖς σύ μοι, ὅτι ἐκεῖνοι μὲν προεφήτευσαν, σὺ δὲ οὔπω
be-jealous you for-me that they indeed prophesied you but not-yet
προφητεύεις. Ἔκδεξαι τὸν καιρόν· Καὶ τίς δῴη πάντα
prophesy await the time and who would-give all
τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα
the people of-Lord prophets when gives Lord the Spirit
αὐτοῦ ἐπ᾽ αὐτούς; προφητικῶς καὶ τοῦτο λέγων, τὸ,
his upon them prophetically also this saying the
Κύριος ὅταν δῷ. Νῦν γὰρ ἄρα οὔπω ἔδωκε· σὺ οὖν οὔπω
Lord when gives now for then not-yet he-has-given you then not-yet
ἔχεις. Ἀβραὰμ ἄρα καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Ἰωσὴφ οὐκ
have Abraham then and Isaac and Jacob and Joseph not
εἶχον; οἱ πρὸ τούτου ἆρα οὐκ ἔσχον; Ἀλλὰ τὸ, Ὅταν
had the(-ones) before this — not had but the when
δῷ Κύριος, δῆλον, ὅτι σημαίνει τὸ, ἐπὶ πάντας. Νῦν μὲν
gives Lord clearly that signifies the upon all now indeed
μερικὴ ἡ χάρις· τότε δαψιλὴς ἡ δόσις. Ἠνίσσετο δὲ τὸ
partial the grace then abundant the giving hinted and the(-thing)

γενησόμενον ἐν τῇ Πεντηκοστῇ παρ᾽ ἡμῖν· καὶ αὐτὸ γὰρ
to-happen at the Pentecost among us and it for
κατῆλθε παρ᾽ ἡμῖν. Κατῆλθε δὲ καὶ πρότερον ἐπὶ πολλούς·
came-down among us came-down and also before upon many
γέγραπται γάρ· Καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐνεπλήσθη
it-is-written for and Jesus the(-son) — of-Naue was-filled
πνεύματος σοφίας. ἐπέθηκε γὰρ Μωϋσῆς τὰς χεῖρας αὐτοῦ
with-spirit of-wisdom laid for Moses the hands his
ἐπ᾽ αὐτόν. Βλέπεις πανταχοῦ τὸν τύπον ἐν Παλαιᾷ καὶ
upon him you-see everywhere the type in Old and
Καινῇ τὸν αὐτόν. Ἐπὶ Μωϋσέως διὰ χειροθεσίας ἐδίδοτο
New the same under Moses through laying-on-of-hands was-given
τὸ Πνεῦμα· καὶ Πέτρος διὰ χειροθεσίας δίδωσι τὸ Πνεῦμα·
the Spirit and Peter through laying-on-of-hands gives the Spirit
μέλλει δὲ καὶ ἐπὶ σὲ τὸν βαπτιζόμενον φθάνειν ἡ χάρις·
is-about and also upon you the(-one) being-baptized to-reach the grace
τὸ δὲ πῶς, οὐ λέγω· οὐ γὰρ προλαμβάνω τὸν καιρόν.
the but how not I-say not for I-anticipate the time
27 Τοῦτο καὶ ἦλθεν ἐπὶ πάντας δικαίους καὶ προφήτας· τὸν
this also came upon all just and prophets —
Ἐνὼς λέγω, τὸν Ἐνὼχ, τὸν Νῶε, καὶ τοὺς λοιπούς·
Enos I-mean — Enoch — Noah and the others
τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακώβ. Περὶ γὰρ τοῦ τὸν
— Abraham — Isaac — Jacob about for the —
Ἰωσὴφ ἔχειν Πνεῦμα Θεοῦ ἐν αὐτῷ, ἤδη καὶ Φαραὼ
Joseph to-have Spirit of-God in him already also Pharaoh
κατείληφεν. Περὶ γὰρ Μωϋσέως, καὶ τῶν ἐπ᾽ αὐτοῦ
perceived about for Moses and the under him
θαυμασίων ἐκ Πνεύματος ἐνεργειῶν, ἤκουσας πολλάκις.
wonders from Spirit operations you-have-heard often
Τοῦτο καὶ ὁ ἀνδρειότατος εἶχεν Ἰὼβ, καὶ πάντες οἱ
this also the most-manly had Job and all the

ἅγιοι, κἂν τὰ ὀνόματα πάντων μὴ διέλθωμεν. Τοῦτο
saints even-if the names of-all not we-go-through this
καὶ ἐν τῇ κατασκευῇ τῆς σκηνῆς ἀποσταλὲν, ἐνέπλησε
also at the construction of-the tabernacle sent filled
σοφίας τοὺς περὶ τὸν Βεσελεὴλ σοφούς.
with-wisdom the(-men) about — Beseleel wise
Ἐν τῇ δυνάμει τούτου τοῦ Πνεύματος, καθὼς ἔχομεν ἐν 28
in the power of-this the Spirit as we-have in
Κριταῖς, Γοθονιὴλ μὲν ἔκρινε, Γεδεὼν δὲ ἐνεδυναμώθη,
Judges Gothoniel indeed judged Gideon and was-strengthened
ἐνίκησε δὲ ὁ Ἰεφθαὲ, Δεββόρα δὲ ἡ γυνὴ ἐπολέμει· καὶ
conquered and — Jephthah Debbora and the woman warred and
Σαμψὼν ἔτι δικαιοπραγῶν καὶ μὴ λυπῶν αὐτὸ, τὰ
Samson still doing-right and not grieving it the(-things)
ὑπὲρ ἄνθρωπον ἐνήργησε. Περὶ γὰρ Σαμουὴλ καὶ Δαβὶδ
beyond man worked about for Samuel and David
φανερῶς ἐν ταῖς τῶν Βασιλειῶν ἔχομεν βίβλοις, ὅπως ἐν
manifestly in the of-the Kingdoms we-have books how in
ἁγίῳ Πνεύματι ἐπροφήτευον αὐτοὶ, καὶ προφητῶν ἦσαν
holy Spirit prophesied they and of-prophets were
ἔξαρχοι. Καὶ ὁ μὲν Σαμουὴλ, ὁ Ὁρῶν ἐκαλεῖτο· ὁ
leaders and — indeed Samuel the Seer was-called —
δὲ Δαβὶδ σαφῶς· Πνεῦμα Κυρίου, φησὶν, ἐλάλησεν ἐν
and David clearly Spirit of-Lord he-says spoke in
ἐμοί· καὶ ἐν Ψαλμοῖς· Καὶ τὸ Πνεῦμα τὸ ἅγιόν σου μὴ
me and in Psalms and the Spirit the holy your not
ἀντανέλῃς ἀπ᾽ ἐμοῦ· καὶ πάλιν· Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν
take-away from me and again the Spirit your the good
ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Καὶ ὡς ἐν Παραλειπομένοις
Ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας. Ὁ γὰρ ἐν τρίτῃ ὥρᾳ
it-is for hour third of-the day the(-one) for at third hour
σταυρωθεὶς, ὡς Μάρκος φησὶ, τρίτῃ ὥρᾳ νῦν κατέπεμψε
crucified as Mark says at-third hour now sent-down
τὴν χάριν. Οὐ γὰρ ἄλλη χάρις ἐκείνου, καὶ ἄλλη χάρις
the grace not for other grace of-that-one and other grace
τούτου· ἀλλ' ὁ τότε σταυρωθεὶς, καὶ ἐπαγγειλάμενος,
of-this but the(-one) then crucified and having-promised
ἐπλήρωσεν ὃ ἐπηγγείλατο. Εἰ δὲ βούλεσθε δέξασθαι
fulfilled what he-promised if and you-wish to-receive
καὶ μαρτυρίαν, ἀκούσατε, φησίν· Ἀλλὰ τοῦτό ἐστι τὸ
also testimony hear he-says but this is the(-thing)
εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται μετὰ
spoken through the prophet Joel and it-will-be after
ταῦτα, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου.
these-things says — God I-will-pour-out from the Spirit my
Τὸ δὲ, ἐκχεῶ, πλουσίαν ἠνίξατο δόσιν· Οὐ γὰρ ἐκ μέτρου
the and I-will-pour-out rich hinted gift not for by measure
δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ
gives — God the Spirit the Father loves the Son and
πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Δέδωκε δὲ αὐτῷ τὴν
all-things has-given into the hand his he-has-given and to-him the

ἐξουσίαν καὶ τοῦ χαρίζεσθαι τοῦ παναγίου Πνεύματος τὴν
authority also of-the to-grant of-the all-holy Spirit the
χάριν οἷς βούλεται. Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου
grace to-whom he-wills I-will-pour-out from the Spirit my
ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ
upon all flesh and will-prophesy the sons your and the
θυγατέρες ὑμῶν· καὶ ἑξῆς. Καί γε, ἐπὶ τοὺς δούλους μου
daughters your and next and indeed upon the servants my
καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ
and upon the handmaids my in the days those I-will-pour-out
ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι. Τὸ Πνεῦμα
from the Spirit my and they-will-prophesy the Spirit
τὸ ἅγιον ἀπροσωπόληπτόν ἐστιν· οὐ γὰρ ζητεῖ ἀξιώματα,
the holy no-respecter-of-persons is not for it-seeks ranks
ἀλλὰ ψυχῆς εὐλάβειαν. Μήτε οἱ πλούσιοι τυφούσθωσαν,
but of-soul piety neither the rich let-be-puffed-up
μήτε οἱ πένητες ταπεινούσθωσαν· μόνον δὲ ἕκαστος
nor the poor let-be-humbled only and each
ἑαυτὸν ἑτοιμαζέτω πρὸς ὑποδοχὴν τῆς ἐπουρανίου χάριτος.
himself let-prepare for reception of-the heavenly grace
20 Πολλὰ μὲν οὖν ἡμῖν εἴρηται σήμερον, καὶ ἴσως κέκμηκεν
many indeed then by-us has-been-said today and perhaps has-grown-weary
ἡ ἀκρόασις· πλείονα δέ ἐστι τὰ λειφθέντα· καὶ χρεία
the hearing more but are the(-things) left and need
ἦν ὡς ἀληθῶς, τοῖς περὶ ἁγίου Πνεύματος διδάγμασι,
there-was as truly for-the about holy Spirit teachings
καὶ τρίτης ἄλλης καὶ πλειόνων κατηχήσεων. Συγγνώμη
also of-third another and more catecheses pardon
δὲ ἡμῖν εἰς ἑκάτερον. Τῆς γὰρ ἁγίας ἑορτῆς τοῦ Πάσχα
and to-us for each-of-two of-the for holy feast of-the Pasch
λοιπὸν ἐφεστώσης, ἐμηκύνθη τε ἡμῖν σήμερον ὁ λόγος·
henceforth being-at-hand was-lengthened both for-us today the word

καὶ πάσας, ὅσας ἐχρῆν, μαρτυρίας ἀπὸ τῆς Καινῆς
and all as-many-as were-needful testimonies from the New
Διαθήκης ἀγαγεῖν εἰς μέσον οὐκ ἐνεχώρησε. Λείπει γὰρ
Covenant to-bring into midst not it-was-possible remain for
ἡμῖν πολλὰ μὲν ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων, ἐν
to-us many indeed from the Acts of-the apostles in
οἷς ἡ τοῦ ἁγίου Πνεύματος χάρις ἐν Πέτρῳ καὶ πᾶσιν
which the of-the holy Spirit grace in Peter and all
ὁμοῦ τοῖς ἀποστόλοις ἐνήργησε. Λείπει δὲ πολλὰ καὶ
together the apostles worked remain and many also
ἐκ τῶν Καθολικῶν, καὶ ἐκ τῶν Παύλου δεκατεσσάρων
from the Catholic(-letters) and from the of-Paul fourteen
ἐπιστολῶν· ἐξ ὧν ὀλίγα νῦν, ὥσπερ ἐκ μεγάλου λειμῶνος
letters from which few now as from great meadow
ὑπομνήσεως μόνης ἕνεκεν ἀπανθίσασθαι πειρασόμεθα.
of-reminder alone for-the-sake to-gather-flowers we-shall-try
Ἐν γὰρ τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος, βουλήσει 21
in for the power of-the holy Spirit by-will
Πατρὸς καὶ Υἱοῦ, σταθεὶς ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, καὶ
of-Father and Son having-stood — Peter with the eleven and
ἐπάρας τὴν φωνὴν αὐτοῦ (κατὰ τὸ εἰρημένον·
having-lifted-up the voice his (according-to the(-thing) said
Ὕψωσον ἐν ἰσχύϊ φωνήν σου, ὁ εὐαγγελιζόμενος
lift-up with strength voice your O(-one) bringing-good-news-to
Ἱερουσαλήμ), τῷ νοητῷ δικτύῳ τῶν λόγων, ψυχὰς ὡσεὶ
Jerusalem) with-the spiritual net of-the words souls about
τρισχιλίας ἐζώγρησε· τοσαύτης ἐν πᾶσι τοῖς ἀποστόλοις
three-thousand caught-alive so-great among all the apostles
ὁμοῦ τῆς χάριτος ἐνεργούσης, ὡς ἐκ τῶν Ἰουδαίων,
together the grace working that from the Jews
τῶν τὸν Χριστὸν ἐσταυρωκότων ἐκείνων, πιστεῦσαι
the(-ones) — Christ having-crucified those to-believe

τοσούτους· καὶ ἐν ὀνόματι Χριστοῦ βαπτισθῆναι, καὶ
so-many and in name of-Christ to-be-baptized and
προσκαρτερεῖν τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ ταῖς
to-persevere in-the teaching of-the apostles and in-the
προσευχαῖς. Ἐν τῇ αὐτῇ δὲ πάλιν δυνάμει τοῦ ἁγίου
prayers in the same and again power of-the holy
Πνεύματος, Πέτρος καὶ Ἰωάννης ἀναβάντες εἰς τὸ ἱερὸν,
Spirit Peter and John having-gone-up into the temple
ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην, καὶ τὸν
at the hour of-the prayer the ninth and the(-man)
ἐν τῇ Ὡραίᾳ πύλῃ χωλὸν ἐκ κοιλίας μητρὸς ἀπὸ ἐτῶν
at the Beautiful gate lame from belly of-mother for years
τεσσαράκοντα ὑπάρχοντα, ἐν ὀνόματι Ἰησοῦ θεραπεύσαντες
forty being in name of-Jesus having-healed
(ἵνα πληρωθῇ τὸ εἰρημένον. Τότε ἁλεῖται ὡς ἔλαφος
(that may-be-fulfilled the(-thing) said then will-leap as hart
ὁ χωλὸς), τῇ πνευματικῇ μὲν τῆς διδασκαλίας σαγήνῃ,
the lame) with-the spiritual indeed of-the teaching dragnet
πεντακισχιλίους ὁμοῦ πιστεύσαντας ἐζώγρησαν· τοὺς δὲ
five-thousand together having-believed caught-alive the and
πεπλανημένους ἄρχοντας τοῦ λαοῦ καὶ ἀρχιερεῖς διήλεγξαν·
having-gone-astray rulers of-the people and chief-priests they-refuted
καὶ οὐ δι' οἰκείαν σοφίαν (ἀγράμματοι γὰρ καὶ
and not because-of own wisdom (unlettered for and
ἰδιῶται ἦσαν), ἀλλὰ διὰ τὴν τοῦ Πνεύματος ἐνέργειαν·
private-men they-were) but because-of the of-the Spirit operation
γέγραπται γάρ· Τότε Πέτρος πλησθεὶς Πνεύματος ἁγίου,
it-is-written for then Peter filled with-Spirit holy
εἶπε πρὸς αὐτούς. Καὶ τοσαύτη, διὰ τῶν δώδεκα
said to them and so-great through the twelve
ἀποστόλων, ἡ τοῦ ἁγίου Πνεύματος ἐν τοῖς πιστεύσασιν
apostles the of-the holy Spirit in the(-ones) having-believed

ἐνήργησε χάρις, ὡς εἶναι μὲν αὐτῶν τὴν καρδίαν καὶ τὴν
worked grace that to-be indeed their the heart and the
ψυχὴν μίαν, ἐπίκοινον δὲ τὴν τῶν ὄντων ἀπόλαυσιν· τῶν
soul one common but the of-the possessions enjoyment of-the
μὲν κτητόρων τὰς τιμὰς τῶν κτημάτων προσφερόντων
indeed owners the prices of-the possessions bringing
εὐλαβῶς, ἐνδεοῦς δὲ μηδενὸς ὄντος ἐν αὐτοῖς· Ἀνανίου
piously needy but no-one being among them of-Ananias
δὲ καὶ Σαπφείρης, τῶν ψεύδεσθαι τὸ Πνεῦμα τὸ ἅγιον
and also of-Sapphira the(-ones) to-lie-to the Spirit the holy
ἐπιχειρησάντων, τὴν πρέπουσαν δίκην ὑπομεινάντων.
having-attempted the fitting penalty having-undergone
Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων, ἐγένετο σημεῖα καὶ 22
through and the hands of-the apostles came-about signs and
τέρατα πολλὰ ἐν τῷ λαῷ· καὶ τοσαύτη περιεκέχυτο
wonders many among the people and so-great was-poured-round
τοῖς ἀποστόλοις ἡ πνευματικὴ χάρις, ὡς φοβεροὺς μὲν
the apostles the spiritual grace that fearful indeed
αὐτοὺς εἶναι, καὶ ταῦτα πράους ὄντας (τῶν γὰρ λοιπῶν
them to-be and these gentle being (of-the for rest
οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς
no-one dared to-join them but magnified them
ὁ λαὸς)· προστίθεσθαι δὲ πλήθη τῶν τῷ Κυρίῳ
the people) to-be-added and multitudes of-the(-ones) in-the Lord
πιστευόντων, ἀνδρῶν τε καὶ γυναικῶν· πεπληρῶσθαι δὲ
believing of-men both and of-women to-be-filled and
τὰς πλατείας τῶν ἐπὶ τοῖς κλιναρίοις καὶ κραββάτοις
the streets of-the(-ones) on the cots and pallets
ἀσθενῶν, ἵνα ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ
sick that coming Peter even-if the shadow may-overshadow
τινὶ αὐτῶν· συνέρχεσθαι δὲ καὶ τὸ πλῆθος τῶν πέριξ
some(-one) of-them to-come-together and also the multitude of-the round-about

πόλεων εἰς τὴν ἁγίαν ταύτην Ἰερουσαλὴμ φερόντων
cities into the holy this Jerusalem bringing
ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθαρτιῶν,
sick and troubled by spirits unclean
οἵτινες ἐθεραπεύοντο ἅπαντες ἐν τῇ δυνάμει ταύτῃ τοῦ
who were-healed all in the power this of-the
ἁγίου Πνεύματος.
holy Spirit

23 Οἱ δώδεκα πάλιν ἀπόστολοι, διὰ τὸ κηρύσσειν τὸν
the twelve again apostles because-of the to-preach —
Χριστὸν, ὑπὸ τῶν ἀρχιερέων εἰς φυλακὴν ἐμβληθέντες,
Christ by the chief-priests into prison having-been-cast
καὶ ὑπὸ ἀγγέλου διὰ νυκτὸς παραδόξως ταύτης
and by angel through night wondrously from-it
ἀπαλλαγέντες, καὶ εἰς δικαστήριον ἐκ τοῦ ἱεροῦ πρὸς
having-been-released and into court from the temple to
αὐτοὺς ἀχθέντες· ἀδυσωπήτως ἐχρήσαντο τοῖς ἐλέγχοις,
them having-been-led unabashedly used the refutations
ἐν τοῖς περὶ Χριστοῦ πρὸς αὐτοὺς εἰρημένοις· καὶ
in the(-things) about Christ to them said and
τοῦτο προσθέντες, ὅτι καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἔδωκεν
this having-added that also the Spirit the holy gave
ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ· καὶ δαρέντες
— God to-the(-ones) obeying him and having-been-beaten
ἐπορεύοντο μὲν χαίροντες, οὐκ ἐπαύοντο δὲ διδάσκοντες,
went indeed rejoicing not ceased but teaching
καὶ εὐαγγελιζόμενοι τὸν Χριστὸν Ἰησοῦν.
and preaching — Christ Jesus

24 Οὐ μόνον δὲ ἐν τοῖς δώδεκα ἀποστόλοις ἡ τοῦ ἁγίου
not only and in the twelve apostles the of-the holy
Πνεύματος ἐνήργησε χάρις· ἀλλὰ γὰρ καὶ ἐν τοῖς
Spirit worked grace but for also in the

πρωτογόνοις τέκνοις τῆς ποτε στείρας Ἐκκλησίας ταύτης,
first-born children of-the once barren Church this
τοῖς ἑπτὰ διακόνοις λέγω. Καὶ οὗτοι γὰρ ἐξελέχθησαν, ὡς
the seven deacons I-mean and these for were-chosen as
γέγραπται, πλήρεις ἁγίου Πνεύματος καὶ σοφίας· ἐξ ὧν ὁ
it-is-written full of-holy Spirit and wisdom of whom the
φερώνυμος Στέφανος, τὸ τῶν μαρτύρων ἀκροθίνιον, ἀνὴρ
aptly-named Stephen the of-the martyrs first-fruits man
πλήρης πίστεως καὶ Πνεύματος ἁγίου, ἐποίει μὲν τέρατα
full of-faith and Spirit holy did indeed wonders
καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ, κατηγωνίζετο δὲ τοὺς
and signs great among the people overcame and the
συζητητάς· Οὐ γὰρ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ
disputants not for they-were-able to-withstand the wisdom and
τῷ Πνεύματι ᾧ ἐλάλει. Συκοφαντούμενος δὲ καὶ εἰς
the Spirit with-which he-spoke slandered and also into
δικαστήριον ἀχθεὶς, ἀγγελικὰς μὲν ἀπέλαμπεν αὐγάς.
court having-been-led angelic indeed he-shone-forth rays
(Ἀτενίσαντες γὰρ εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι
(having-gazed for at him all the(-ones) sitting
ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡς πρόσωπον
in the council saw the face his as face
ἀγγέλου.) Διὰ δὲ τῆς συνετῆς ἀπολογίας αὐτοῦ, τοὺς
of-angel) through and the wise defense his the
σκληροτραχήλους καὶ ἀπεριτμήτους τῇ καρδίᾳ καὶ
stiff-necked and uncircumcised in-the heart and
τοῖς ὠσὶν Ἰουδαίους ἐλέγξας, τοὺς ἀεὶ τῷ Πνεύματι
in-the ears Jews having-refuted the(-ones) always the Spirit
τῷ ἁγίῳ ἀντιπίπτοντας· ἐθεώρει μὲν τοὺς οὐρανοὺς
the holy resisting he-beheld indeed the heavens
διηνεῳγμένους, εἶδε δὲ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα
opened saw and the Son of-the man standing

ἐκ δεξιῶν τοῦ Θεοῦ· εἶδεν δὲ οὐκ ἐξ οἰκείας δυνάμεως,
at right-hand — of-God he-saw and not from own power
ἀλλ' ὡς ἡ θεία Γραφή φησιν· Ὑπάρχων δὲ πλήρης
but as the divine Scripture says being and full
Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν
of-Spirit holy having-gazed into the heaven he-saw glory
Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,
of-God and Jesus standing at right-hand — of-God
25 Ἐν τῇ δυνάμει ταύτῃ τοῦ ἁγίου Πνεύματος, καὶ Φίλιππος
in the power this of-the holy Spirit also Philip
ἐν ὀνόματι Χριστοῦ, ποτὲ μὲν ἐν τῇ πόλει τῆς
in name of-Christ at-one-time indeed in the city —
Σαμαρείας ἀπήλασε τὰ ἀκάθαρτα πνεύματα, βοῶντα φωνῇ
of-Samaria drove-out the unclean spirits crying with-voice
μεγάλῃ· παραλελυμένους δὲ καὶ χωλοὺς ἐθεράπευσε, πολλὰ
loud paralyzed and also lame he-healed many
δὲ τῶν πιστευσάντων πλήθη τῷ Χριστῷ προσήγαγεν.
and of-the(-ones) having-believed multitudes — to-Christ brought
Οἷς κατελθόντες, Πέτρος καὶ Ἰωάννης, μετὰ προσευχῆς
to-whom having-come-down Peter and John with prayer
καὶ τῆς τῶν χειρῶν ἐπιθέσεως, μετεδίδοσαν τῆς τοῦ
and the of-the hands laying-on imparted of-the of-the
ἁγίου Πνεύματος κοινωνίας· ἧς μόνος Σίμων ὁ Μάγος
holy Spirit fellowship of-which alone Simon the Magus
ἀλλότριος ἐπεφάνθη, δικαίως. Ποτὲ δὲ ὑπὸ τοῦ
alien was-shown justly at-another-time and by the
ἀγγέλου Κυρίου κληθεὶς καθ' ὁδὸν, διὰ τὸν εὐλαβέστατον
angel of-Lord called on the-road because-of the most-pious
Αἰθίοπα τὸν εὐνοῦχον, παρ' αὐτοῦ τοῦ Πνεύματος φανερῶς
Ethiopian the eunuch from itself the Spirit manifestly
ἀκούσας· Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ·
having-heard approach and join-yourself to-the chariot this

διδάξας τὸν Αἰθίοπα, καὶ βαπτίσας, καὶ εἰς τὴν Αἰθιοπίαν
having-taught the Ethiopian and having-baptized and into — Ethiopia
Χριστοῦ κήρυκα πέμψας, κατὰ τὸ γεγραμμένον·
of-Christ herald having-sent according-to the(-thing) written
Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Κυρίῳ· καὶ ἁρπασθεὶς
Ethiopia will-stretch-forth hand her to-the Lord and caught-away
ὑπὸ τοῦ ἀγγέλου, τὰς ἐφεξῆς πόλεις εὐηγγελίζετο.
by the angel the next cities he-evangelized
Τούτου τοῦ ἁγίου Πνεύματος πεπλήρωτο καὶ Παῦλος, 26
of-this the holy Spirit had-been-filled also Paul
μετὰ τὴν ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
after the(-call) by the Lord our Jesus Christ
κλῆσιν. Καὶ μάρτυς ἡμῖν τῶν λόγων ἡκέτω Ἀνανίας
call and witness for-us of-the words let-come Ananias
ὁ εὐλαβὴς, ὁ ἐν Δαμασκῷ, λέγων πρὸς αὐτόν· Ὁ
the pious the(-one) in Damascus saying to him the
Κύριος ἀπέσταλκέ με Ἰησοῦς, ὁ ὀφθείς σοι ἐν
Lord has-sent me Jesus the(-one) having-appeared to-you in
τῇ ὁδῷ ᾗ ἤρχου· ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς
the road by-which you-were-coming that you-may-see-again and be-filled
Πνεύματος ἁγίου. Ὅπερ εὐθὺς ἐνεργῆσαν, τῶν μὲν
with-Spirit holy which immediately having-worked of-the indeed
ὀφθαλμῶν Παύλου τὴν τύφλωσιν μετέβαλεν εἰς ἀνάβλεψιν·
eyes of-Paul the blindness changed into recovery-of-sight
τῇ δὲ ψυχῇ τὴν σφραγῖδα χαρισάμενον, σκεῦος ἐκλογῆς
to-the and soul the seal having-granted vessel of-election
ἐποίησε, τοῦ βαστάσαι τὸ ὄνομα τοῦ φανέντος αὐτῷ
made for-the to-bear the name of-the(-one) having-appeared to-him
Κυρίου ἐνώπιον βασιλέων, υἱῶν τε Ἰσραήλ· καὶ τὸν ποτὲ
Lord before kings sons and of-Israel and the once
διώκτην, κήρυκα καὶ δοῦλον ἀγαθὸν ἀπειργάσατο· ἀπὸ
persecutor herald and servant good made from

Ἱεροσολύμων μὲν καὶ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότα
Jerusalem indeed even as-far-as — Illyricum having-fulfilled
τὸ Εὐαγγέλιον· κατηχήσοντα δὲ καὶ τὴν βασιλίδα
the Gospel being-about-to-catechize and also the queen
Ῥώμην, καὶ μέχρι Σπανίας τὴν προθυμίαν τοῦ κηρύγματος
Rome and as-far-as Spain the zeal of-the preaching
ἐκτείναντα· μυρίους δὲ ὑπομεμενηκότα τοὺς ἄθλους, σημεῖά
having-extended countless and having-endured the contests signs
τε καὶ τέρατα πεποιηκότα· περὶ οὗ τέως αὐτάρκως.
both and wonders having-done about whom meanwhile sufficiently
27 Ἐν τῇ δυνάμει οὖν τοῦ αὐτοῦ ἁγίου Πνεύματος, καὶ ὁ
in the power then of-the same holy Spirit also the
πρωτοστάτης τῶν ἀποστόλων καὶ τῆς βασιλείας τῶν
leader of-the apostles and of-the kingdom of-the
οὐρανῶν κλειδοῦχος Πέτρος, ἐν Λύδδῃ μὲν τῇ νῦν
heavens key-bearer Peter in Lydda indeed the(-one) now
Διοσπόλει, ἐν τῷ ὀνόματι, Χριστοῦ τὸν παραλυτικὸν
Diospolis in the name of-Christ the paralytic
Αἰνέαν ἐθεράπευσεν· ἐν Ἰόππῃ δὲ τὴν ἀγαθοεργὸν Ταβιθᾶν
Aeneas healed in Joppa and the doer-of-good Tabitha
ἐκ νεκρῶν ἤγειρεν. Ἐπὶ δὲ τοῦ δώματος ἐν ἐκστάσει τὸν
from the-dead raised on and the housetop in ecstasy the
οὐρανὸν ἰδὼν ἀνεῳγμένον, καὶ διὰ τοῦ καθιεμένου ὡς
heaven having-seen opened and through the let-down as
ὀθόνης σκεύους, τοῦ πολυμόρφων καὶ πολυτρόπων ζώων
sheet vessel the(-one) of-many-formed and many-kinded animals
πλήρους, τὸ μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον,
full the no-one common or unclean to-call man
κἂν ἐξ Ἑλλήνων τυγχάνῃ, σαφῶς ἔμαθε· καὶ ὑπὸ τοῦ
even-if from Greeks he-be clearly learned and by —
Κορνηλίου μετασταλεὶς, παρ' αὐτοῦ φανερῶς ἤκουσε τοῦ
Cornelius sent-for from it manifestly heard the

ἁγίου Πνεύματος· Ἰδοὺ ἄνδρες ζητοῦσί σε· ἀλλὰ ἀναστὰς,
holy Spirit behold men seek you but having-arisen
κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, ὅτι
go-down and go with them nothing doubting because
ἐγὼ ἀπέστειλα αὐτούς· Καὶ ἵνα δειχθῇ τοῦτο φανερῶς,
I sent them and that may-be-shown this manifestly
ὅτι καὶ οἱ ἐξ ἐθνῶν πιστεύοντες τῆς χάριτος τοῦ
that also the(-ones) from gentiles believing of-the grace of-the
ἁγίου Πνεύματος κοινωνοὶ γίνονται· Πέτρου παραγενομένου
holy Spirit sharers become Peter having-arrived
εἰς τὴν Καισάρειαν, καὶ τὰ περὶ Χριστοῦ διδάσκοντος,
in — Caesarea and the(-things) about Christ teaching
ἡ Γραφὴ λέγει περὶ Κορνηλίου καὶ τῶν συμπαρόντων·
the Scripture says about Cornelius and the(-ones) present-with(-him)
Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἔπεσε
while-still speaking — Peter the words these fell
τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν
the Spirit the holy upon all the(-ones) hearing the
λόγον· ὡς καὶ τοὺς ἐκ περιτομῆς τοὺς συνελθόντας
word so-that also the(-ones) of circumcision the(-ones) having-come-with
τῷ Πέτρῳ, θαυμάζοντας καὶ ἐπισταμένους λέγειν· Ὅτι καὶ
— Peter marveling and knowing-how to-say that also
ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται.
upon the gentiles the gift of-the holy Spirit has-been-poured-out
Καὶ ἐν Ἀντιοχείᾳ δὲ, τῆς Συρίας ἐπισημοτάτῃ πόλει, 28
and in Antioch and — of-Syria most-notable city
τοῦ περὶ Χριστοῦ κηρύγματος ἐνεργοῦντος, συνεργὸς τῶν
the about Christ preaching working fellow-worker of-the
ἀγαθῶν ἐντεῦθεν ἀπεστάλη Βαρνάβας ἕως Ἀντιοχείας,
good-things from-here was-sent Barnabas as-far-as Antioch
ἀνὴρ ἀγαθὸς, καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως· ὃς
man good and full of-Spirit holy and of-faith who

πολὺν θερισμὸν τῶν εἰς Χριστὸν πιστευόντων ἰδὼν,
great harvest of-the(-ones) in Christ believing having-seen
συναγωνιστὴν ἀπὸ Ταρσοῦ Παῦλον εἰς Ἀντιόχειαν ἤγαγεν.
fellow-contender from Tarsus Paul to Antioch brought
Ὄχλων τε ὑπ᾽ αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ διδαχθέντων τε καὶ
crowds and by them in the Church taught both and
συναχθέντων, ἐγένετο πρῶτον χρηματίσαι ἐν Ἀντιοχείᾳ τοὺς
gathered it-happened first to-be-called in Antioch the
μαθητὰς Χριστιανούς· τοῦ ἁγίου Πνεύματος, οἶμαι, τὸ
disciples Christians the holy Spirit I-think the(-name)
προκαταγγελθὲν ὑπὸ τοῦ Κυρίου, τοῖς πιστεύουσιν
foretold by the Lord on-the(-ones) believing
ὄνομα καινὸν ἐπιτιθέντος. Ἐκχεομένης δὲ ὑπὸ τοῦ Θεοῦ
name new putting being-poured-out and by — God
πλείονος ἐν Ἀντιοχείᾳ τῆς πνευματικῆς χάριτος, προφῆται
more in Antioch the spiritual grace prophets
ἦσαν αὐτόθι καὶ διδάσκαλοι, μεθ᾽ ὧν καὶ Ἄγαβος.
there-were there and teachers with whom also Agabus
Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων,
ministering and they to-the Lord and fasting
εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τὸν Βαρνάβαν
said the Spirit the holy separate now for-me — Barnabas
καὶ Παῦλον εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς. Καὶ
and Paul for the work to-which I-have-called them and
χειρῶν αὐτοῖς ἐπιτεθεισῶν, ἐξεπέμφθησαν ὑπὸ τοῦ ἁγίου
hands on-them having-been-laid they-were-sent-out by the holy
Πνεύματος. Δῆλον δὲ, ὅτι τὸ Πνεῦμα τὸ λέγον καὶ
Spirit clear and that the Spirit the(-one) speaking and
πέμπον, ζῶν ἐστι καὶ ὑφεστὼς καὶ ἐνεργοῦν, ὡς εἰρήκαμεν.
sending living is and subsisting and working as we-have-said

Τοῦτο τὸ Πνεῦμα τὸ ἅγιον, τὸ, συμφωνίᾳ Πατρὸς καὶ 29
this the Spirit the holy the(-one) by-agreement of-Father and
Υἱοῦ, τὴν Καινὴν Διαθήκην ἐπὶ τῆς καθολικῆς Ἐκκλησίας
Son the New Covenant upon the catholic Church
συστησάμενον, ἠλευθέρωσεν ἡμᾶς τῶν δυσβαστάκτων
having-established freed us from-the hard-to-bear
τοῦ Νόμου φορτίων, τῶν περὶ κοινοῦ καὶ ἀκαθάρτου,
of-the Law burdens those about common and unclean
καὶ βρωμάτων λέγω, Σαββάτων τε καὶ Νουμηνιῶν, καὶ
and foods I-mean Sabbaths both and New-moons and
τῆς περιτομῆς, περιῤῥαντηρίων τε καὶ θυσιῶν· ἃ κατὰ
the circumcision sprinklings both and sacrifices which in
καιρὸν μὲν δοθέντα, σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν,
season indeed given shadow had of-the coming good-things
ἐλθούσης δὲ τῆς ἀληθείας, συνεστέλλετο δικαίως. Διὰ
having-come but the truth were-drawn-in justly because-of
γὰρ τὴν ἐπὶ τῆς Ἀντιοχείας ζήτησιν, τῶν λεγόντων
for the at — Antioch inquiry of-the(-ones) saying
δεῖν περιτέμνεσθαι καὶ τηρεῖν τὰ ἔθη Μωϋσέως,
it-is-needful to-be-circumcised and to-keep the customs of-Moses
Παύλου καὶ Βαρνάβα πεμφθέντων· οἱ ἐνταῦθα ἐν
Paul and Barnabas having-been-sent the(-ones) here in
Ἱεροσολύμοις ὄντες ἀπόστολοι, πάντων μὲν τῶν νομικῶν
Jerusalem being apostles from-all indeed the legal
καὶ τυπικῶν πραγμάτων, δι᾽ ἐπιστολῆς ἐγγράφου, τὴν
and typical things through letter written the
οἰκουμένην ἅπασαν ἠλευθέρωσαν. Οὐ μὴν ἑαυτοῖς ἔδωκαν
world whole freed not however to-themselves they-gave
τὴν αὐθεντίαν τοῦ τοιούτου πράγματος· ἀλλ᾽ ὁμολογοῦσιν
the authority of-the such matter but they-confess
ἐγγράφως, ἐπιστέλλοντες· Ἔδοξε γὰρ τῷ ἁγίῳ Πνεύματι
in-writing writing it-seemed-good for to-the holy Spirit

καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν
and to-us nothing more to-lay-upon you burden except the
ἐπάναγκες τούτων· ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος,
necessary these to-abstain from-idol-offerings and from-blood
καὶ πνικτοῦ, καὶ πορνείας· δι᾽ ὧν ἔγραφον τοῦτο
and from-strangled and from-fornication through which they-wrote this
δηλοῦντες σαφῶς, ὅτι εἰ καὶ δι᾽ ἀποστόλων ἀνθρώπων
showing clearly that if even through apostles men
ἦν τὸ γραφὲν, ἀλλ᾽ ἐξ ἁγίου Πνεύματος οἰκουμενικόν
was the(-thing) written but from holy Spirit world-wide
ἐστι τὸ διάταγμα· ὅπερ οἱ περὶ τὸν Βαρνάβαν καὶ
is the decree which the(-ones) about — Barnabas and
Παῦλον λαβόντες, εἰς πᾶσαν τὴν οἰκουμένην ὠχύρωσαν.
Paul having-taken into all the world confirmed
30 Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος, συγγνώμην αἰτῶ παρὰ
here and of-the discourse having-come pardon I-ask from
τῆς ὑμετέρας ἀγάπης, μᾶλλον δὲ παρὰ τοῦ ἐνοικοῦντος
the your love rather and from the(-Spirit) dwelling
ἐν Παύλῳ Πνεύματος, εἰ μὴ δυναίμην τὰ πάντα διελθεῖν,
in Paul Spirit if not I-should-be-able the all-things to-go-through
ἀσθενείας τε τῆς ἐμῆς ἕνεκεν, καὶ τοῦ κόπου τοῦ
of-weakness both the my for-the-sake and of-the weariness of-the
ἀκουόντων ὑμῶν. Πότε γὰρ αὐτοῦ κατ᾽ ἀξίαν διηγήσομαι
hearing you when for his according-to worth shall-I-relate
τὰς ἐκ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος ἐν ὀνόματι
the from the operation of-the holy Spirit in name
Χριστοῦ θαυμασίας πράξεις; τὰς ἐν Κύπρῳ ἐπὶ Ἐλύμα
of-Christ wonderful deeds the(-deeds) in Cyprus against Elymas
τοῦ μάγου, καὶ τὰς ἐν Λύστροις ἐπὶ τῆς τοῦ χωλοῦ
the sorcerer and the(-deeds) in Lystra at the of-the lame-man
θεραπείας· καὶ ἐν Κιλικίᾳ, καὶ Φρυγίᾳ, καὶ Γαλατίᾳ, καὶ
healing and in Cilicia and Phrygia and Galatia and

Μυσίᾳ, καὶ Μακεδονίᾳ· ἢ τὰ ἐν Φιλίπποις· τὸ κήρυγμα
Mysia and Macedonia or the(-things) in Philippi the preaching
λέγω, καὶ τοῦ Πύθωνος ἐν ὀνόματι Χριστοῦ τὴν ἀπελασίαν·
I-mean and — of-Python in name of-Christ the driving-out
καὶ τὴν ἐν νυκτὶ, μετὰ σεισμὸν, τοῦ δεσμοφύλακος
and the(-salvation) by night after earthquake of-the jailer
διὰ βαπτίσματος πανοικὶ σωτηρίαν· ἢ τὰ ἐν
through baptism with-all-his-house salvation or the(-things) in
Θεσσαλονίκῃ, καὶ τὴν ἐν μέσοις Ἀθηναίοις ἐν Ἀρείῳ
Thessalonica and the(-speech) in midst-of Athenians on Ares
πάγῳ δημηγορίαν· ἢ τὰς ἐν Κορίνθῳ διδασκαλίας, καὶ ἐν
hill public-speech or the in Corinth teachings and in
Ἀχαΐᾳ πάσῃ; πῶς δὲ κατ᾽ ἀξίαν διηγήσομαι τὰς ἐν
Achaia all how and according-to worth shall-I-relate the(-operations) in
Ἐφέσῳ διὰ Παύλου γενομένας ὑπὸ τοῦ ἁγίου Πνεύματος
Ephesus through Paul having-come-about by the holy Spirit
ἐνεργείας; Ὅπερ ἀγνοοῦντες μὲν οἱ αὐτόθι πρότερον,
operations which not-knowing indeed the(-ones) there before
ἐπέγνωσαν διὰ τῆς Παύλου διδασκαλίας· ἐπιθέντος δὲ
they-came-to-know through the of-Paul teaching having-laid and
αὐτοῖς τὰς χεῖρας τοῦ Παύλου, καὶ ἐλθόντος τοῦ ἁγίου
on-them the hands — of-Paul and having-come the holy
Πνεύματος ἐπὶ αὐτοὺς, ἐλάλουν γλώσσαις καὶ ἐπροφήτευον.
Spirit upon them they-spoke with-tongues and prophesied
Τοσαύτη τε ἐπ᾽ αὐτῷ ἦν ἡ χάρις πνευματικὴ, ὡς μὴ
so-great both upon him was the grace spiritual that not
μόνον αὐτὸν ἁπτόμενον ἰᾶσθαι· ἀλλὰ γὰρ καὶ τὰ ἀπὸ
only him touching to-heal but for also the(-things) from
τοῦ χρωτὸς αὐτοῦ ἐπιφερόμενα σουδάρια καὶ σημικίνθια,
the skin his brought handkerchiefs and aprons
θεραπεύειν τὰς νόσους, καὶ ἀπελαύνειν τὰ τοῦ πονηροῦ
to-heal the diseases and to-drive-out the of-the evil(-one)

πνεύματα· ἤδη δὲ καὶ τοὺς τὰ περίεργα πράξαντας,
spirits already and also the(-ones) the curious-arts having-practiced
συνενέγκαντας τὰς βίβλους κατακαίειν ἐπὶ πάντων.
having-brought-together the books to-burn before all
31 Παρατρέχω καὶ τὰ ἐν Τρωάδι κατὰ τὸν Εὔτυχον,
I-pass-over also the(-things) in Troas concerning — Eutychus
κατενεχθέντα μὲν ἀπὸ τοῦ ὕπνου, καὶ πεσόντα ἀπὸ
brought-down indeed by the sleep and having-fallen from
τριστέγου κάτω, καὶ ἀρθέντα νεκρὸν, ὑπὸ δὲ Παύλου
third-story down and taken-up dead by but Paul
διασωθέντα. Παρατρέχω καὶ τὰς πρὸς τοὺς
saved I-pass-over also the(-prophecies) to the
πρεσβυτέρους Ἐφέσου, τοὺς ἐν Μιλήτῳ κληθέντας,
elders of-Ephesus the(-ones) in Miletus called
προφητείας· οἷς φανερῶς ἔλεγεν· Ὅτι τὸ Πνεῦμα τὸ
prophecies to-whom manifestly he-said that the Spirit the
ἅγιον κατὰ πόλιν διαμαρτύρεταί μοι λέγον, ὅτι, καὶ τὰ
holy in-every city testifies to-me saying that and the
ἑξῆς. Διὰ γὰρ τοῦ εἰπεῖν, ὅτι κατὰ πόλιν, ἐδήλωσεν ὁ
next through for the to-say that in-every city showed —
Παῦλος, ὅτι τὰ ἐν ἑκάστῃ πόλει γενόμενα ὑπ᾽ αὐτοῦ
Paul that the(-wonders) in each city having-happened by him
θαυμάσια, ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας ἦν,
wonders from the of-the holy Spirit operation were
νεύματι Θεοῦ, καὶ ἐν ὀνόματι τοῦ ἐν αὐτῷ λαλοῦντος
by-nod of-God and in name of-the(-one) in him speaking
Χριστοῦ. Ἐκ τῆς δυνάμεως τούτου τοῦ ἁγίου Πνεύματος,
Christ from the power of-this the holy Spirit
ἔσπευδε μὲν εἰς τὴν ἁγίαν ταύτην πόλιν Ἱερουσαλὴμ ὁ
hastened indeed to the holy this city Jerusalem the
αὐτὸς Παῦλος· καὶ ταῦτα τοῦ Ἀγάβου τὰ συμβησόμενα
same Paul and these — Agabus the(-things) to-befall

αὐτῷ προφητεύοντος Πνεύματι· ἐδημηγόρει δὲ, τὰ περὶ
him prophesying by-Spirit he-spoke-publicly and the(-things) about
Χριστοῦ διηγούμενος, ἐν πεποιθήσει. Εἰς δὲ τὴν Καισάρειαν
Christ narrating in confidence to and — Caesarea
ἀναχθεὶς, καὶ μέσοις δικαστηρίων βήμασι, ποτὲ
having-been-brought and in-the-midst-of of-courts tribunals at-one-time
μὲν ἐπὶ Φήλικος, ποτὲ δὲ ἐπὶ Φήστου ἡγεμόνος καὶ
indeed under Felix at-another-time and under Festus governor and
Ἀγρίππα τοῦ βασιλέως, τοσαύτην ἐκ Πνεύματος ἁγίου
Agrippa the king so-great from Spirit holy
νικητικὴν ἐν σοφίᾳ χάριν ἔσχεν ὁ Παῦλος, ὡς αὐτὸν ἤδη
victorious in wisdom grace had — Paul that himself already
τὸν βασιλέα τῶν Ἰουδαίων Ἀγρίππαν εἰπεῖν· Ἐν ὀλίγῳ
the king of-the Jews Agrippa to-say in little
με πείθεις Χριστιανὸν γενέσθαι. Τοῦτο τὸ ἅγιον Πνεῦμα
me you-persuade Christian to-become this the holy Spirit
τῷ Παύλῳ παρέσχε καὶ ἐν Μελίτῃ τῇ νήσῳ, δηχθέντι
— to-Paul provided also in Melita the island bitten
μὲν ὑπὸ τῆς ἐχίδνης, τὸ ἀβλαβὲς ἔχειν, διαφόρους δὲ
indeed by the viper the harmlessness to-have various and
ἐπὶ τῶν νοσούντων ἐπιτελέσαι τὰς θεραπείας. Τοῦτο τὸ
for the sick to-accomplish the healings this the
Πνεῦμα τὸ ἅγιον καὶ μέχρι τῆς βασιλίδος Ῥώμης αὐτὸν
Spirit the holy also as-far-as the queen Rome him
κήρυκα Χριστοῦ, τόν ποτε διώκτην, ὡδήγησεν· ὃς πολλοὺς
herald of-Christ the once persecutor guided who many
μὲν αὐτόθι τῶν Ἰουδαίων πιστεύειν εἰς Χριστὸν ἔπειθε,
indeed there of-the Jews to-believe in Christ persuaded
τοῖς δὲ ἀντιλέγουσιν ἔλεγε σαφῶς· Καλῶς τὸ Πνεῦμα
to-the(-ones) and contradicting said clearly well the Spirit

τὸ ἅγιον ἐλάλησε διὰ Ἠσαΐου τοῦ προφήτου, λέγοντος
the holy spoke through Isaiah the prophet saying
πρὸς τοὺς πατέρας ὑμῶν, καὶ τὰ ἑξῆς.
to the fathers your and the next

32 Ὅτι γε Πνεύματος ἁγίου πλήρης ἦν ὁ Παῦλος, καὶ
that indeed of-Spirit holy full was — Paul and
οἱ τούτῳ παραπλήσιοι πάντες ἀπόστολοι, καὶ οἱ
the(-ones) to-him like all apostles and the(-ones)
μετ᾽ αὐτοὺς εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα
after them in Father and Son and holy Spirit
[ὁμοούσιον] πιστεύοντες, ἄκουε σαφῶς ἐν ταῖς ἐπιστολαῖς
[*consubstantial*] *believing hear clearly in the letters*
αὐτοῦ γράφοντος· Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά
his writing and the word my and the preaching
μου, οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ᾽ ἐν
my not in persuasive of-wisdom human words but in
ἀποδείξει Πνεύματος καὶ δυνάμεως· καὶ πάλιν· Ὁ δὲ
demonstration of-Spirit and of-power and again the(-one) and
σφραγισάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεὸς, ὁ δοὺς
having-sealed us for itself this God the(-one) having-given
ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος· καὶ πάλιν· Ὁ
us the earnest of-the Spirit and again the(-one)
ἐγείρας Ἰησοῦν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν
having-raised Jesus from the-dead will-give-life also the mortal your
σώματα, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν· καὶ
bodies through the dwelling his Spirit in you and
πάλιν πρὸς Τιμόθεον γράφων· Τὴν καλὴν παρακαταθήκην
again to Timothy writing the good deposit
φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν.
guard through Spirit holy the(-one) given to-us

Ὅτι δὲ τὸ Πνεῦμα τὸ ἅγιον ὑφέστηκε, καὶ ζῇ, καὶ λαλεῖ, 33
that and the Spirit the holy subsists and lives and speaks
καὶ προλέγει, πολλάκις μὲν ἐν τοῖς ἔμπροσθεν ἡμῖν
and foretells often indeed in the(-things) before by-us
εἴρηται· γράφει δὲ σαφῶς πρὸς Τιμόθεον ὁ Παῦλος· Τὸ δὲ
has-been-said writes and clearly to Timothy — Paul the and
Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί
Spirit expressly says that in later times will-fall-away
τινες τῆς πίστεως· ἅπερ οὐ μόνον ἐν τοῖς πρὸ ἡμῶν,
some from-the faith which not only in the(-times) before us
ἀλλὰ καὶ ἐν τοῖς ἐφ᾽ ἡμῶν σχίσμασιν ὁρῶμεν, ποικίλης
but also in the in our(-time) schisms we-see manifold
καὶ πολυτρόπου τῆς τῶν αἱρετικῶν πλάνης οὔσης· καὶ
and multiform the of-the heretics error being and
πάλιν ὁ αὐτός φησιν· Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη
again the same says which in-other generations not was-made-known
τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις
to-the sons of-the men as now it-was-revealed to-the holy
ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι, καὶ τὰ ἑξῆς·
apostles his and prophets in Spirit and the next
καὶ πάλιν· Διὸ, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· καὶ
and again wherefore as says the Spirit the holy and
πάλιν· Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ πάλιν
again testifies and to-us also the Spirit the holy and again
τοῖς τῆς δικαιοσύνης ὁπλίταις προσφωνεῖ, λέγων· Καὶ τὴν
to-the of-the righteousness men-at-arms be-calls saying and the
περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ
helmet of-the salvation receive and the sword of-the
Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, διὰ πάσης προσευχῆς
Spirit which is word of-God through all prayer
καὶ δεήσεως· καὶ πάλιν· Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ
and supplication and again not be-drunk with-wine in which

ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε πνεύματος, λαλοῦντες ἐν
is profligacy but be-filled with-spirit speaking among
ἑαυτοῖς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς· καὶ
yourselves in-psalms and hymns and songs spiritual and
πάλιν· Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ,
again the grace of-the Lord Jesus and the love — of-God
καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν.
and the fellowship of-the holy Spirit with all you
34 Δι' ὧν ἁπάντων, καὶ τῶν παραλειφθέντων πλειόνων,
through which all and the(-ones) omitted more
συνίσταται τοῖς νοοῦσιν ἡ ἐνυπόστατος, καὶ
is-established for-the(-ones) understanding the subsistent and
ἁγιοποιὸς, καὶ ἐνεργητικὴ τοῦ ἁγίου Πνεύματος δύναμις.
sanctifying and operative of-the holy Spirit power
Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος, εἰ ἐβουλόμην
will-fail for me relating the time if I-wished
λέγειν τὰ λείποντα περὶ ἁγίου Πνεύματος ἐκ τῶν
to-tell the(-things) remaining about holy Spirit from the
Παύλου τεσσαρεσκαίδεκα Ἐπιστολῶν· ἐν αἷς ποικίλως, καὶ
of-Paul fourteen Epistles in which variously and
ἀνελλιπῶς, καὶ εὐλαβῶς ἐδίδαξεν. Ἔργον δ' ἂν εἴη
unfailingly and piously be-taught work and — it-would-be
τῆς δυνάμεως αὐτοῦ τοῦ ἁγίου Πνεύματος, ἡμῖν μὲν ἐφ'
of-the power of-itself the holy Spirit to-us indeed for
οἷς ἐνελλείπομεν, διὰ τὸ τῶν ἡμερῶν ὀλίγον δοῦναι
what we-fell-short because-of the of-the days fewness to-give
συγγνώμην· ὑμῖν δὲ τοῖς ἀκροαταῖς τῶν λειπόντων
pardon to-you but the hearers of-the(-things) remaining
τελειοτέραν ἐνθεῖναι τὴν γνῶσιν· τῶν σπουδαίων ἐν ὑμῖν
more-perfect to-put-in the knowledge the earnest among you
ἐκ τῆς πυκνοτέρας τῶν θείων Γραφῶν ἀναγνώσεως ταῦτα
from the more-frequent of-the divine Scriptures reading these-things

μανθανόντων· ἤδη δὲ καὶ ἐκ τῶν παρουσῶν τούτων
learning already and also from the present these
κατηχήσεων, καὶ ἐκ τῶν πρότερον εἰρημένων ἡμῖν,
catecheses and from the(-things) before said by-us
βεβαιοτέραν τὴν πίστιν ἐχόντων, Εἰς ἕνα Θεὸν Πατέρα
more-firm the faith having in one God Father
παντοκράτορα· καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν,
almighty and in the Lord our Jesus Christ
τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον,
the Son his the only-begotten and in the Spirit the holy
τὸν Παράκλητον. Τῆς λέξεως μέν τε καὶ ὀνομασίας αὐτῆς,
the Paraclete of-the word indeed both and name itself
τῆς τοῦ Πνεύματος, ἐν ταῖς θείαις Γραφαῖς κειμένης
the(-name) of-the Spirit in the divine Scriptures lying
ἐπικοίνως (λέγεται γὰρ περὶ τοῦ Πατρὸς, Πνεῦμα ὁ Θεὸς,
in-common (it-is-said for about the Father spirit — God
ὡς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ γέγραπται·
as in the(-Gospel) according-to John Gospel it-is-written
καὶ περὶ τοῦ Υἱοῦ, Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς
and about the Son spirit before face our Christ
Κύριος, ὥς φησιν Ἱερεμίας ὁ προφήτης· καὶ περὶ τοῦ ἁγίου
Lord as says Jeremiah the prophet and about the holy
Πνεύματος, Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὡς
Spirit the but Paraclete the Spirit the holy as
εἴρηται), τῆς δὲ ἐν τῇ πίστει τάξεως εὐσεβῶς νοουμένης,
it-has-been-said) of-the but in the faith order piously understood
καὶ τὴν Σαβελλίου πλάνην ἀπελαυνούσης· ἐπανέλθωμεν
and the of-Sabellius error driving-away let-us-return
τῷ λόγῳ πρὸς τὸ νῦν κατεπεῖγον, καὶ ὑμῖν συμφέρον.
in-the word to the(-thing) now pressing and to-you profitable

35 Βλέπε μή ποτε κατὰ τὸν Σίμωνα προσέρχῃ τοῖς
see lest ever like — Simon you-approach the(-ones)
βαπτίζουσιν ὑποκρινόμενος, ἡ δὲ καρδία σου οὐ ζητῇ
baptizing feigning the but heart your not seeks
τὴν ἀλήθειαν. Ἡμέτερον τὸ διαμαρτύρασθαι, σὸν δὲ τὸ
the truth ours the to-testify yours but the
ἀσφαλίζεσθαι. Εἰ ἔστηκας ἐν πίστει, μακάριος τυγχάνεις·
to-secure-yourself if you-stand in faith blessed you-are
εἰ πέπτωκας ἐν ἀπιστίᾳ, ῥῖψον τὴν ἀπιστίαν ἀπὸ τῆς
if you-have-fallen in unbelief cast-off the unbelief from the
σήμερον, καὶ πληροφορήθητι. Κατὰ γὰρ τὸν καιρὸν τοῦ
today and be-fully-assured at for the time of-the
βαπτίσματος, ὅταν προσέλθῃς ἐπὶ τῶν ἐπισκόπων, ἢ
baptism when you-approach before the bishops or
πρεσβυτέρων, ἢ διακόνων (ἀπανταχοῦ γὰρ ἡ χάρις, καὶ
presbyters or deacons (everywhere for the grace both
ἐν κώμαις, καὶ ἐν πόλεσι· καὶ ἐπὶ ἰδιωτῶν καὶ ἐλλογίμων,
in villages and in cities and for private-men and learned
καὶ ἐπὶ δούλων καὶ ἐλευθέρων· ἐπειδὴ οὐκ ἐξ ἀνθρώπων
and for slaves and free since not from men
ἡ χάρις, ἀλλ' ἐκ Θεοῦ δι' ἀνθρώπων ἡ δόσις)· σὺ μὲν
the grace but from God through men the giving) you indeed
προσέρχου τῷ βαπτίζοντι· προσέρχου δὲ, μὴ προσέχων
approach the(-one) baptizing approach but not attending
τῷ προσώπῳ τοῦ φαινομένου, ἀλλὰ μέμνησο τοῦ
to-the face of-the(-one) appearing but remember the
Πνεύματος τοῦ ἁγίου τούτου περὶ οὗ νῦν ὁ λόγος. Τοῦτο
Spirit the holy this about which now the word this
γὰρ ἕτοιμον πάρεστι σφραγίσαι σου τὴν ψυχήν· καὶ δίδωσι
for ready is-present to-seal your the soul and it-gives
σφραγῖδα ἣν τρέμουσι δαίμονες, ἐπουράνιόν τινα καὶ
seal which tremble-at demons heavenly some and

θείαν, καθὼς καὶ γέγραπται· Ἐν ᾧ καὶ πιστεύσαντες,
divine as also it-is-written in whom also having-believed
ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ.
you-were-sealed with-the Spirit of-the promise the holy
Ἀλλὰ δοκιμάζει τὴν ψυχὴν, οὐ βάλλει τοὺς μαργαρίτας 36
but it-tests the soul not it-casts the pearls
ἔμπροσθεν τῶν χοίρων. Εἰ ὑποκρίνῃ, νῦν ἄνθρωποί σε
before the swine if you-feign now men you
βαπτίζουσι, τὸ δὲ Πνεῦμά σε οὐ βαπτίσει. Ἐὰν δὲ ἐκ
baptize the but Spirit you not will-baptize if but from
πίστεως προσέλθῃς, ἄνθρωποι μὲν ὑπηρετοῦσιν εἰς τὸ
faith you-approach men indeed minister to the(-thing)
φαινόμενον, Πνεῦμα δὲ ἅγιον δίδωσι τὸ μὴ φαινόμενον.
appearing Spirit but holy gives the(-thing) not appearing
Εἰς μεγάλην ἐξέτασιν ἔρχῃ, εἰς μεγάλην στρατολογίαν,
to great examination you-come to great enlistment
κατὰ τὴν μίαν ὥραν· ἣν ἐὰν ἀπολέσῃς, ἀκατόρθωτόν σοι
in the one hour which — you-lose irreparable for-you
τὸ κακόν· ἐὰν δὲ καταξιωθῇς τῆς χάριτος, φωτίζεταί σου
the evil if but you-are-deemed-worthy of-the grace is-enlightened your
ἡ ψυχὴ, λαμβάνεις δύναμιν ἣ οὐκ εἶχες. Λαμβάνεις ὅπλα
the soul you-receive power which not you-had you-receive arms
φρικώδη τοῖς δαίμοσι· καὶ ἐὰν μὴ ῥίψῃς τὰ ὅπλα, ἔχῃς
terrible to-the demons and if not you-throw-away the arms you-have
δὲ τὴν σφραγῖδα ἐπὶ ψυχῆς, οὐ προσέρχεται δαίμων· πτήσσει
and the seal upon soul not approaches demon he-cowers
γάρ· καὶ δὴ ἐν Πνεύματι Θεοῦ ἐκβάλλεται τὰ δαιμόνια.
for and indeed by Spirit of-God are-cast-out the demons
Ἐὰν πιστεύσῃς, οὐ μόνον λαμβάνεις ἄφεσιν ἁμαρτιῶν, 37
if you-believe not only you-receive forgiveness of-sins
ἀλλὰ ποιεῖς καὶ τὰ ὑπὲρ ἄνθρωπον· γένοιτο δέ σε
but you-do also the(-things) beyond man may-it-be and you

ἄξιον εἶναι καὶ προφητικοῦ χαρίσματος. Λαμβάνεις γὰρ
worthy to-be also of-prophetic gift you-receive for
τοσοῦτον τῆς χάριτος, ὅσον χωρεῖς, καὶ οὐχ ὅσον ἐγὼ
so-much of-the grace as-much-as you-hold and not as-much-as I
λέγω. Ἐγχωρεῖ γὰρ ἐμὲ μὲν μικρὰ λέγειν, σὲ δὲ μείζονα
say it-is-possible for me indeed small-things to-say you but greater
λαμβάνειν· ἐπειδὴ πραγματεία πλατεῖα ἡ πίστις. Παραμένει
to-receive since business broad the faith remains-with
σοι διὰ παντὸς ὁ φρουρὸς ὁ Παράκλητος· περὶ σοῦ
you through all the guardian the Paraclete about you
μεριμνᾷ, ὥσπερ ἰδίου στρατιώτου· περὶ τῶν εἰσόδων σου,
he-is-concerned as about-own soldier about the entrances your
καὶ περὶ τῶν ἐξόδων σου, καὶ περὶ τῶν ἐπιβουλευόντων·
and about the exits your and about the(-ones) plotting
καὶ δίδωσί σοι παντοίας χαρισμάτων δόσεις, ἐὰν μὴ δι᾽
and gives you all-kinds of-gifts givings if not through
ἁμαρτίας αὐτὸν λυπήσῃς· γέγραπται γάρ· Καὶ μὴ λυπεῖτε
sin him you-grieve it-is-written for and not grieve
τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε
the Spirit the holy — of-God in whom you-were-sealed
εἰς ἡμέραν ἀπολυτρώσεως. Τί οὖν ἐστιν, ἀγαπητοί, τὸ
for day of-redemption what then is beloved the
διατηρῆσαι τὴν χάριν; Ἕτοιμοι γίνεσθε εἰς τὸ ὑποδέξασθαι
to-preserve the grace ready become for the to-receive
τὴν χάριν· καὶ δεξάμενοι, μὴ ἀποβάλητε ταύτην.
the grace and having-received not cast-away it

38 Αὐτὸς δὲ τῶν ὅλων Θεὸς, ὁ λαλήσας ἐν Πνεύματι
himself and of-the universe God the(-one) having-spoken in Spirit
ἁγίῳ διὰ τῶν προφητῶν, ὁ ἐξαποστείλας αὐτὸ
holy through the prophets the(-one) having-sent-forth it
ἐπὶ τοὺς ἀποστόλους ἐν ἡμέρᾳ Πεντηκοστῆς ἐνταῦθα
upon the apostles on day of-Pentecost here

τοῦτο καὶ νῦν αὐτὸς ἐφ᾽ ὑμᾶς ἐξαποστείλειε· καὶ
this also now himself upon you may-he-send-forth and
διὰ τούτου καὶ ἡμᾶς τηρήσειε, κοινὴν ἅπασιν ἡμῖν
through this also us may-he-keep common to-all us
παρασχὼν τὴν εὐεργεσίαν· ἵνα πάντοτε τοὺς καρποὺς
having-provided the benefit that always the fruits
τοῦ ἁγίου Πνεύματος ἀποδῶμεν· ἀγάπην, χαρὰν εἰρήνην,
of-the holy Spirit we-may-render love joy peace
μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πίστιν, πραΰτητα,
long-suffering kindness goodness faith gentleness
ἐγκράτειαν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι᾽ οὗ
self-control in Christ Jesus the Lord our through whom
καὶ μεθ᾽ οὗ, σὺν ἁγίῳ Πνεύματι, δόξα τῷ Πατρὶ καὶ
and with whom with holy Spirit glory to-the Father both
νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
now and always and to the ages of-the ages amen

ΚΑΤΗΧΗΣΙΣ ΙΗ΄ ΦΩΤΙΖΟΜΕΝΩΝ

XVIII · THE RESURRECTION, THE CATHOLIC CHURCH, AND LIFE ETERNAL

Hope of the resurrection is the root of good works. To Greeks who ask how rotted and devoured bodies can rise, Cyril answers from God's power and justice, the seed, the phoenix, our growth from formless beginnings, and the moon; to Samaritans, who accept only the Law, from the God of Abraham, Isaac, and Jacob, the rods of Moses and Aaron, and Lot's wife; to the faithful, from the prophets, Elisha's bones, and Paul. All rise in eternal bodies, the just to dwell with angels, sinners to endure punishment, so keep the body pure. The Church is catholic because it spans the world and teaches all doctrine; seek it, not the heretics' assemblies. Eternal life has many doors. Cyril closes by promising the Easter-week mystagogical lectures.

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα εἰς τὸ, Καὶ εἰς μίαν ἁγίαν
in Jerusalem extemporized on the and in one holy
καθολικὴν Ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ
catholic Church and in of-flesh resurrection and
εἰς ζωὴν αἰώνιον· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· Καὶ
in life eternal and reading from — Ezekiel and
ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με ἐν Πνεύματι
came upon me hand of-Lord and brought-out me in Spirit
Κυρίου, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου· καὶ τοῦτο
of-Lord and set me in midst of-the plain and this
ἦν μεστὸν ὀστέων ἀνθρώπων, καὶ τὰ ἑξῆς.
was full of-bones of-men and the next

1 Ῥίζα πάσης τῆς ἀγαθοεργίας, ἡ τῆς ἀναστάσεως ἐλπίς.
root of-all the doing-of-good the of-the resurrection hope
Ἡ γὰρ προσδοκία τῆς μισθαποδοσίας νευροῖ τὴν ψυχὴν
the for expectation of-the recompense nerves the soul
εἰς ἐργασίαν ἀγαθήν. Ἕτοιμος μὲν γὰρ ἅπας ἐργάτης εἰς
for working good ready indeed for every worker for
τὸ ὑπομεῖναι τοὺς καμάτους, ἐὰν προβλέπῃ τῶν καμάτων
the to-endure the labors if he-foresees of-the labors

τὸν μισθόν· τοῖς δὲ ἀμισθὶ κάμνουσι, προκαταπίπτει
the wage for-the(-ones) but without-pay toiling falls-first
καὶ ἡ ψυχὴ μετὰ τοῦ σώματος. Στρατιώτης ἔπαθλα
also the soul with the body soldier prizes
προσδοκῶν, εἰς πολέμους ἕτοιμος· οὐδεὶς δὲ ἀκρίτῳ
expecting for wars ready no-one but for-an-undiscerning
βασιλεῖ στρατευόμενος, τῷ μὴ παρέχοντι βραβεῖα τῶν
king serving the(-one) not providing prizes of-the
καμάτων, ἕτοιμος εἰς τὸ ὑπεραποθανεῖν. Οὕτω καὶ πᾶσα
labors ready for the to-die-for(-him) so also every
ψυχὴ πιστεύουσα μὲν εἰς ἀνάστασιν, φείδεται ἑαυτῆς
soul believing indeed in resurrection spares itself
εἰκότως· ἀπιστοῦσα δὲ τῇ ἀναστάσει, γίνεται ἔκδοτος
fittingly disbelieving but the resurrection becomes given-over
εἰς ἀπώλειαν. Ὁ πιστεύων, ὅτι μένει τὸ σῶμα εἰς
to destruction the(-one) believing that remains the body for
ἀνάστασιν, φείδεται τῆς στολῆς, καὶ οὐ μολύνει τοῦτο
resurrection spares the robe and not defiles it
πορνείαις· ὁ δὲ ἀπιστῶν τῇ ἀναστάσει, δίδωσιν
with-fornications the(-one) but disbelieving the resurrection gives
ἑαυτὸν εἰς πορνείας, ὡς ἀλλοτρίῳ παρακεχρημένος τῷ
himself to fornications as another's misusing the
ἰδίῳ σώματι. Μέγα τοίνυν τῆς ἁγίας καθολικῆς Ἐκκλησίας
own body great therefore of-the holy catholic Church
παράγγελμα καὶ δίδαγμα, πίστις περὶ νεκρῶν ἀναστάσεως·
precept and teaching faith about of-the-dead resurrection
μέγα καὶ ἀναγκαιότατον, ὑπὸ πολλῶν μὲν ἀντιλεγόμενον,
great and most-necessary by many indeed contradicted
ὑπὸ δὲ τῆς ἀληθείας πιστοποιούμενον. Ἀντιλέγουσιν
by but the truth made-sure contradict

Ἕλληνες, ἀπιστοῦσι Σαμαρεῖται, διασύρουσιν αἱρετικοί.
Greeks disbelieve Samaritans disparage heretics
Πολυειδὴς ἡ ἀντίῤῥησις, ἀλλὰ μονοειδὴς ἡ ἀλήθεια.
multiform the contradiction but uniform the truth
2 Καὶ λέγουσι πρὸς ἡμᾶς ταῦτα Ἕλληνες ὁμοῦ καὶ
and say to us these-things Greeks together and
Σαμαρεῖται· Πέπτωκεν ὁ ἄνθρωπος ὁ τελευτήσας, καὶ
Samaritans has-fallen the man the(-one) having-died and
σέσηπε, καὶ εἰς σκώληκας ὅλως ἀνελύθη, καὶ οἱ σκώληκες
has-rotted and into worms wholly has-been-dissolved and the worms
τεθνήκασι. Σηπεδὼν τοιαύτη καὶ ἀπώλεια διεδέξατο
have-died rotting such and destruction has-succeeded-to
τὸ σῶμα· πῶς οὖν ἐγείρεται; Τοὺς ναυαγήσαντας
the body how then is-it-raised the(-ones) having-been-shipwrecked
ἰχθύες καταβεβρώκασι, καὶ αὐτοὶ κατεβρώθησαν· τῶν
fishes have-devoured and they were-devoured of-the(-ones)
θηριομαχησάντων ἄρκτοι καὶ λέοντες καὶ αὐτὰ τὰ ὀστέα
having-fought-beasts bears and lions also themselves the bones
λεπτύναντες ἀνήλωσαν· γῦπες καὶ κόρακες τῶν χαμαὶ
having-ground-small consumed vultures and ravens of-the on-the-ground
ῥιφέντων νεκρῶν τὰς σάρκας φαγόντες, εἰς πάντα τὸν
cast the-dead the flesh having-eaten into all the
κόσμον ἀπέπτησαν· πόθεν συνάγεται τὸ σῶμα; Ἐγχωρεῖ
world flew-off whence is-gathered the body it-is-possible
γὰρ τῶν ὀρνίθων τῶν φαγόντων, τὸν μὲν ἐν Ἰνδικῇ
for of-the birds the(-ones) having-eaten the(-one) indeed in India
τελευτῆσαι, τὸν δὲ ἐν Περσίδι, τὸν δὲ ἐν Γοτθίᾳ.
to-die the(-other) but in Persia the(-other) and in Gothia
Πυρὶ καταφλεγέντων ἑτέρων, καὶ αὐτὴν τὴν σποδιὰν
by-fire burned-up others even itself the ash
διεσκόρπισεν ὄμβρος ἢ ἄνεμος· πόθεν συνάγεται τὸ σῶμα;
scattered rain or wind whence is-gathered the body

Σοὶ, τῷ ἀνθρώπῳ μικροτάτῳ ὄντι καὶ ἀσθενεῖ, μακρὰ τῆς 3
to-you the man very-small being also weak far —
Γοτθίας ἡ Ἰνδικὴ, καὶ Ἱσπανία Περσίδος· Θεῷ δὲ, τῷ
from-Gothia — India and Spain from-Persia to-God but the(-one)
κατέχοντι πᾶσαν τὴν γῆν ἐν δρακὶ, πάντα ἐγγύς. Μὴ
holding all the earth in hand all-things near not
τοίνυν πρὸς τὴν σὴν ἀσθένειαν, ἀδυναμίαν κατηγόρει
therefore according-to the your weakness of-powerlessness accuse
Θεοῦ· ἀλλὰ τῇ ἐκείνου δυνάμει πρόσεχε μᾶλλον. Εἶτα,
God but to-the his power attend rather then
ἥλιος, ἔργον μὲν ὢν τοῦ Θεοῦ μικρὸν, μιᾷ προσβολῇ
sun work indeed being — of-God small with-one stroke
τῶν ἀκτίνων πάντα θερμαίνει τὸν κόσμον· καὶ ἀὴρ ὃν ὁ
of-the rays all warms the world and air which —
Θεὸς ἐποίησε, περιέχει τὰ πάντα ἐν κόσμῳ· Θεὸς δὲ, ὁ
God made encompasses the all-things in world God but the(-one)
καὶ ἡλίου καὶ ἀέρος δημιουργὸς, ἆρα μακρὰν ἀπέχει
also of-sun and air creator — far is-he-distant
τοῦ κόσμου; Ὑπόθου μοι διάφορα σπέρματα γεννημάτων
from-the world suppose for-me various seeds of-crops
μεμίχθαι (ἀσθενοῦντι γάρ σοι περὶ τὴν πίστιν, ἀσθενῆ
to-have-been-mixed (being-weak for to-you about the faith weak
λέγω καὶ τὰ ὑποδείγματα), καὶ ταῦτα τὰ διάφορα τῶν
I-say also the examples) and these the various of-the
γεννημάτων περιέχεσθαι ἐν μιᾷ δρακὶ τῇ σῇ· μέγα σοί
crops to-be-contained in one hand the your great for-you
ἐστι ἆρα τῷ ἀνθρώπῳ, ἢ εὔκολον, τὴν σὴν δράκα
is-it — the man or easy the your handful
διακρῖναι, καὶ ἕκαστον τῶν γεννημάτων κατὰ τὴν ἑαυτοῦ
to-separate and each of-the crops according-to the its-own
φύσιν συναγαγεῖν, καὶ ἀποκαταστῆσαι εἰς γένος; Εἶτα,
nature to-gather and to-restore into kind then

σὺ μὲν τὰ ἐν τῇ σεαυτοῦ χειρὶ διακρῖναι δύνασαι,
you indeed the(-things) in the your-own hand to-separate can
Θεὸς δὲ ἄρα τὰ ἐν τῇ ἑαυτοῦ δρακὶ περιεχόμενα
God but then the(-things) in the his-own hand contained
διακρῖναι, καὶ ἀποκαταστῆσαι οὐ δύναται; Νόησον τὸ
to-separate and to-restore not can consider the(-thing)
λεγόμενον, εἰ μὴ ἐστιν ἀσεβὴς ἡ ἄρνησις.
said whether not is impious the denial

4 Πρόσχες δέ μοι καὶ αὐτῷ τῷ τῆς δικαιοσύνης λόγῳ, καὶ
attend and for-me also itself the of-the righteousness reasoning and
ἐλθὲ εἰς σεαυτόν. Διαφόρους ἔχεις οἰκέτας· ἀλλ᾽ οἱ μὲν
come to yourself various you-have servants but the indeed
καλοὶ τυγχάνουσιν, οἱ δὲ φαῦλοι· τιμᾷς ἄρα τοὺς καλούς,
good happen-to-be the but base you-honor then the good
καὶ τύπτεις τοὺς φαύλους. Καὶ εἰ δικαστὴς τυγχάνεις,
and you-beat the base and if judge you-are
ἐπαινεῖς τοὺς ἀγαθούς, καὶ τιμωρεῖς τοὺς παρανόμους. Εἶτα,
you-praise the good and you-punish the lawless then
παρὰ σοὶ μὲν θνητῷ ἀνθρώπῳ ὄντι, τὸ δίκαιον σώζεται·
with you indeed mortal man being the just is-preserved
παρὰ δὲ Θεῷ τῷ πάντων ἀδιαδόχῳ βασιλεῖ, τὸ τῆς
with but God the of-all unsucceeded king the of-the
δικαιοσύνης ἀνταποδοτικὸν ἄρα οὐκ ἔστιν; Ἀλλὰ ἀσεβὴς ἡ
righteousness requital then not is but impious the
ἄρνησις· σκόπησον γὰρ τὸ λεγόμενον. Πολλοὶ φονεῖς
denial consider for the(-thing) said many murderers
ἐπὶ κοίτης ἀτιμώρητοι τετελευτήκασι· ποῦ οὖν τοῦ Θεοῦ
in bed unpunished have-died where then — of-God
ἡ δικαιοσύνη; Πολλάκις δὲ καὶ φονεὺς πεντήκοντα φόνοις
the righteousness often and also murderer to-fifty murders
ὑποκείμενος, καὶ κεφαλὴν ἅπαξ ἀπετμήθη· ποῦ οὖν τῶν
liable and head once was-cut-off where then of-the

τεσσαρακονταεννέα δώσει τὴν τιμωρίαν; Ἐὰν μὴ ᾖ
forty-nine will-he-give the punishment if not there-be
κρίσις καὶ ἀνταπόδοσις μετὰ τὸν κόσμον τοῦτον, ἀδικίαν
judgment and requital after the world this of-injustice
Θεοῦ κατηγορεῖς. Ἀλλὰ μὴ θαυμάσῃς διὰ τὴν ὑπέρθεσιν
God you-accuse but not marvel because-of the postponement
τῆς κρίσεως. Πᾶς ἀγωνιζόμενος, μετὰ τὸ παρελθεῖν
of-the judgment every contender after the to-have-passed
τὸν ἀγῶνα, στεφανοῦται ἢ καταισχύνεται· καὶ οὐδέποτε
ἐγείρετο· ὑμεῖς δὲ κατὰ τὸ βάπτισμα, ἐν ὁμοιώματι καὶ
was-raised you and in the baptism in likeness both
συσταυρωθῆναι, καὶ συνταφῆναι, καὶ συναναστῆναι αὐτῷ
to-be-crucified-with and to-be-buried-with and to-rise-with him
καταξιοῦσθε· οὕτω καὶ ἐπὶ τοῦ χρίσματος. Ἐκεῖνος ἐλαίῳ
are-deemed-worthy so also in the chrism that-one with-oil
νοητῷ ἀγαλλιάσεως ἐχρίετο, τοῦτ᾽ ἔστι Πνεύματι ἁγίῳ,
spiritual of-gladness was-anointed that is with-Spirit holy
ἀγαλλιάσεως καλουμένῳ ἐλαίῳ, διὰ τὸ αἴτιον αὐτὸ τῆς
of-gladness called oil because-of the cause it of-the
πνευματικῆς τυγχάνειν ἀγαλλιάσεως· ὑμεῖς δὲ μύρῳ
spiritual to-be gladness you but with-ointment
ἐχρίσθητε, κοινωνοὶ καὶ μέτοχοι τοῦ Χριστοῦ γενόμενοι.
were-anointed sharers and partakers — of-Christ having-become
Ἀλλ᾽ ὅρα μὴ ὑπονοήσῃς ἐκεῖνο τὸ μύρον ψιλὸν εἶναι. 3
but see-to-it lest you-suspect that the ointment plain to-be
Ὥσπερ γὰρ ὁ ἄρτος τῆς Εὐχαριστίας, μετὰ τὴν ἐπίκλησιν
just-as for the bread of-the Eucharist after the invocation
τοῦ ἁγίου Πνεύματος, οὐκ ἔτι ἄρτος λιτὸς, ἀλλὰ σῶμα
of-the holy Spirit no longer bread plain but body

Χριστοῦ· οὕτω καὶ τὸ ἅγιον τοῦτο μύρον, οὐκ ἔτι ψιλὸν,
of-Christ so also the holy this ointment no longer plain
οὐδ' ὡς ἂν εἴποι τις κοινὸν μετ' ἐπίκλησιν· ἀλλὰ
nor as — might-say anyone common after invocation but
Χριστοῦ χάρισμα, καὶ Πνεύματος ἁγίου, παρουσίᾳ τῆς
of-Christ gift and of-Spirit holy by-presence of-the
αὐτοῦ θεότητος, ἐνεργητικὸν γινόμενον. Ὅπερ συμβολικῶς
his godhead operative becoming which symbolically
ἐπὶ μετώπου, καὶ τῶν ἄλλων σου χρίεται αἰσθητηρίων.
on forehead and the other your is-anointed senses
Καὶ τῷ μὲν φαινομένῳ μύρῳ τὸ σῶμα χρίεται, τῷ
and with-the indeed visible ointment the body is-anointed by-the
δὲ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι ἡ ψυχὴ ἁγιάζεται.
but holy and life-giving Spirit the soul is-sanctified

4 Καὶ πρῶτον ἐχρίεσθε ἐπὶ τὸ μέτωπον· ἵνα ἀπαλλαγῆτε
and first you-were-anointed on the forehead that you-may-be-freed
τῆς αἰσχύνης, ἣν ὁ πρῶτος παραβάτης ἄνθρωπος
from-the shame which the first transgressor man
πανταχοῦ περιέφερε· καὶ ἵνα ἀνακεκαλυμμένῳ προσώπῳ
everywhere carried-about and that with-unveiled face
τὴν δόξαν Κυρίου κατοπτρίζησθε. Εἶτα ἐπὶ τὰ ὦτα·
the glory of-Lord you-may-behold-as-in-a-mirror then on the ears
ἵνα προσλάβητε τὰ ἀκουστικὰ τῶν θείων μυστηρίων ὦτα,
that you-may-receive the hearing of-the divine mysteries ears
περὶ ὧν Ἡσαΐας ἔλεγε· Καὶ προσέθηκέ μοι Κύριος ὠτίον
about which Isaiah said and added to-me Lord ear
τοῦ ἀκούειν· καὶ ὁ Κύριος Ἰησοῦς ἐν Εὐαγγελίοις· Ὁ
for-the to-hear and the Lord Jesus in Gospels the(-one)
ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Εἶτα ἐπὶ τὴν ὄσφρησιν· ὅπως
having ears to-hear let-him-hear then on the smelling that
τοῦ θείου ἀντιλαμβανόμενοι μύρου, λέγητε· Χριστοῦ εὐωδία
the divine perceiving ointment you-may-say of-Christ fragrance

ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις. Μετὰ ταῦτα ἐπὶ
we-are — to-God among the(-ones) being-saved after these-things on
τὰ στήθη· ἵνα ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης,
the breast that having-put-on the breastplate of-the righteousness
στῆτε πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Ὥσπερ γὰρ ὁ
you-may-stand against the wiles of-the devil just-as for —
Χριστὸς μετὰ τὸ βάπτισμα καὶ τὴν τοῦ ἁγίου Πνεύματος
Christ after the baptism and the of-the holy Spirit
ἐπιφοίτησιν, ἐξελθὼν κατηγωνίσατο τὸν ἀντικείμενον· οὕτω
coming-upon having-gone-out overcame the adversary so
καὶ ὑμεῖς μετὰ τὸ ἱερὸν βάπτισμα καὶ τὸ μυστικὸν χρίσμα
also you after the sacred baptism and the mystical chrism
ἐνδεδυμένοι τὴν πανοπλίαν τοῦ ἁγίου Πνεύματος, ἵστασθε
having-put-on the panoply of-the holy Spirit stand
πρὸς τὴν ἀντικειμένην δύναμιν, καὶ ταύτην καταγωνίζεσθε
against the opposing power and it overcome
λέγοντες· Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.
saying all-things I-am-strong-for in the strengthening me Christ
Τούτου τοῦ ἁγίου χρίσματος καταξιωθέντες, καλεῖσθε 5
of-this the holy chrism deemed-worthy you-are-called
Χριστιανοί, ἐπαληθεύοντες τῇ ἀναγεννήσει καὶ τὸ ὄνομα.
Christians making-true by-the regeneration also the name
Πρὸ γὰρ τοῦ καταξιωθῆναι ὑμᾶς ταύτης τῆς χάριτος,
before for the to-be-deemed-worthy you of-this the grace
ταύτης τῆς προσηγορίας κυρίως οὐκ ἦτε ἄξιοι, ἀλλ᾽
of-this the name properly not you-were worthy but
ὁδεύοντες προεβαίνετε εἰς τὸ εἶναι Χριστιανοί.
traveling you-were-advancing toward the to-be Christians
Εἰδέναι δὲ ὑμᾶς ἀναγκαῖον, ὅτι τοῦ χρίσματος τούτου ἐν 6
to-know and you necessary that of-the chrism this in
Παλαιᾷ Γραφῇ τὸ σύμβολον κεῖται. Καὶ γὰρ ὁπηνίκα τὸ τοῦ
Old Scripture the symbol lies and for when the —

Θεοῦ πρόσταγμα Μωσῆς τῷ ἀδελφῷ μετεδίδου, ἀρχιερέα
of-God command Moses to-the brother was-imparting high-priest
καθιστῶν τοῦτον· μετὰ τὸ ἐν ὕδατι λούσασθαι, ἔχρισε· καὶ
appointing him after the in water to-wash he-anointed and
ἐκαλεῖτο Χριστὸς, ἐκ τοῦ χρίσματος δηλαδὴ τοῦ τυπικοῦ.
he-was-called Christ from the anointing evidently the typical
Οὕτω καὶ τὸν Σολομῶνα προάγων εἰς βασιλέα, ἔχρισεν
so also — Solomon bringing-forward as king anointed
αὐτὸν, μετὰ τὸ λούσασθαι ἐν τῷ Γειὼν, ὁ ἀρχιερεύς. Ἀλλὰ
him after the to-wash in — Gihon the high-priest but
ταῦτα μὲν ἐκείνοις συνέβαινε τυπικῶς, ὑμῖν δὲ οὐ τυπικῶς,
these-things indeed to-those happened typically to-you but not typically
ἀλλ' ἀληθῶς· ἐπειδὴ ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐχρίεσθε
but truly since by the holy Spirit you-were-anointed
ἀληθῶς, ἡ ἀρχὴ τῆς ὑμετέρας σωτηρίας ὁ Χριστός· ἐκεῖνος
truly the beginning of-the your salvation — Christ he
γὰρ ἀληθῶς ἀπαρχὴ, καὶ ὑμεῖς τὸ φύραμα· εἰ δὲ ἡ ἀπαρχὴ
for truly firstfruit and you the lump if but the firstfruit
ἁγία, δηλονότι μεταβήσεται ἐπὶ τὸ φύραμα ἡ ἁγιότης.
holy evidently will-pass to the lump the holiness
7 Τοῦτο φυλάξατε ἄσπιλον· πάντων γὰρ ἔσται τοῦτο
this keep spotless of-all for will-be this
διδακτικὸν, εἰ ἐν ὑμῖν μένοι, καθὼς ἀρτίως ἠκούσατε
instructive if in you it-remain as just-now you-heard
τοῦ μακαρίου Ἰωάννου λέγοντος, καὶ πολλὰ περὶ τούτου
the blessed John saying and much about this
χρίσματος φιλοσοφοῦντος. Ἔστι γὰρ τοῦτο τὸ ἅγιον,
chrism philosophizing is for this the holy
πνευματικὸν σώματος φυλακτήριον, καὶ ψυχῆς σωτήριον.
spiritual of-body safeguard and of-soul salvation
Τοῦτο ἐκ παλαιῶν χρόνων ὁ μακάριος Ἡσαΐας προφητεύων
this from old times the blessed Isaiah prophesying

ἔλεγε· Καὶ ποιήσει Κύριος πᾶσιν ἔθνεσιν ἐπὶ τὸ ὄρος
said and will-make Lord for-all nations on the mountain
τοῦτο (ὄρος δὲ καλεῖ τὴν Ἐκκλησίαν καὶ ἀλλαχοῦ, ὡς
this (mountain and he-calls the Church also elsewhere as
ὅταν λέγῃ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς
when he-says and it-will-be in the last days manifest
τὸ ὄρος Κυρίου), πίονται οἶνον, πίονται εὐφροσύνην,
the mountain of-Lord) they-will-drink wine they-will-drink gladness
χρίσονται μύρον. Καὶ ἵνα ἀσφαλίσηταί σε, ἄκουε
they-will-anoint-themselves with-ointment and that he-may-secure you hear
ἃ περὶ τούτου τοῦ μύρου, ὡς μυστικοῦ, φησί· Παράδος
what about this the ointment as mystical he-says hand-down
ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ τοῦ Κυρίου
these-things all to-the nations the for counsel of-the Lord
ἐπὶ πάντα τὰ ἔθνη. Τούτῳ οὖν χρισθέντες τῷ ἁγίῳ
upon all the nations with-this then anointed the holy
μύρῳ, τηρήσατε αὐτὸ ἄσπιλον καὶ ἄμωμον ἐν ὑμῖν· δι᾽
ointment keep it spotless and blameless in you through
ἔργων ἀγαθῶν προκόπτοντες, καὶ εὐάρεστοι γενόμενοι τῷ
works good advancing and well-pleasing having-become to-the
ἀρχηγῷ τῆς σωτηρίας ὑμῶν Χριστῷ Ἰησοῦ, ᾧ ἡ
author of-the salvation your Christ Jesus to-whom the
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
glory to the ages of-the ages amen

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Δ΄

MYSTAGOGICAL LECTURE IV · ON THE BODY AND BLOOD OF CHRIST

Paul's account of the Last Supper suffices: Christ said of the bread, this is my body, and of the cup, this is my blood, so who will doubt? He who turned water into wine at Cana can be trusted to change wine into blood. In the figure of bread and wine the communicants receive his body and blood, becoming of one body and blood with him and sharers in the divine nature. The Jews, hearing him carnally, took offense. The faithful judge by faith, not taste, as David's table, oil, and cup and Ecclesiastes' bread, wine, and white garments show: what seems bread is Christ's body, and what seems wine his blood.

Περὶ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· καὶ ἀνάγνωσις
about body and blood — of-Christ and reading
ἐκ τῆς πρὸς Κορινθίους Παύλου Ἐπιστολῆς· Ἐγὼ γὰρ
from the to Corinthians of-Paul Epistle I for
παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, καὶ
received from the Lord what also I-handed-down to-you and
τὰ ἑξῆς.
the next

1 Καὶ αὕτη τοῦ μακαρίου Παύλου ἡ διδασκαλία, ἱκανὴ
and this of-the blessed Paul the teaching sufficient
καθέστηκε πληροφορῆσαι ὑμᾶς περὶ τῶν θείων μυστηρίων,
is to-assure you about the divine mysteries
ὧν καταξιωθέντες, σύσσωμοι καὶ σύναιμοι τοῦ Χριστοῦ
of-which deemed-worthy of-one-body and of-one-blood — with-Christ
γεγόνατε. Αὐτὸς γὰρ ἀρτίως ἐβόα. Ὅτι ἐν τῇ νυκτὶ
you-have-become he for just-now cried that in the night
ᾗ παρεδίδοτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς,
in-which was-betrayed the Lord our Jesus Christ
λαβὼν ἄρτον καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς
having-taken bread and having-given-thanks broke and gave to-the

ἑαυτοῦ μαθηταῖς, λέγων· Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ
his-own disciples saying take eat this my is
τὸ σῶμα. Καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας,
the body and having-taken the cup and having-given-thanks
εἶπε· Λάβετε, πίετε, τοῦτό μου ἐστὶ τὸ αἷμα. Αὐτοῦ οὖν
said take drink this my is the blood he then
ἀποφηναμένου, καὶ εἰπόντος περὶ τοῦ ἄρτου, Τοῦτό μου
having-declared and having-said about the bread this my
ἐστὶ τὸ σῶμα· τίς τολμήσει ἀμφιβάλλειν λοιπόν; Καὶ
is the body who will-dare to-doubt henceforth and
αὐτοῦ βεβαιωσαμένου καὶ εἰρηκότος, Τοῦτό μου ἐστὶ τὸ
he having-confirmed and having-said this my is the
αἷμα· τίς ἐνδοιάσει ποτὲ, λέγων μὴ εἶναι αὐτοῦ τὸ αἷμα;
blood who will-hesitate ever saying not to-be his the blood
Τὸ ὕδωρ ποτὲ εἰς οἶνον μεταβέβληκεν, οἰκεῖον αἵματι, 2
the water once into wine he-has-changed akin to-blood
ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ οὐκ ἀξιόπιστός ἐστιν, οἶνον
in Cana — of-Galilee and not credible is-he wine
μεταβαλὼν εἰς αἷμα; Εἰς γάμον σωματικὸν κληθεὶς, ταύτην
having-changed into blood to marriage bodily called this
ἐθαυματούργησε τὴν παραδοξοποτίαν· καὶ τοῖς υἱοῖς τοῦ
he-wrought the paradoxical-drink and to-the sons of-the
νυμφῶνος οὐ πολλῷ μᾶλλον τὴν ἀπόλαυσιν τοῦ σώματος
bridechamber not much more the enjoyment of-the body
αὐτοῦ καὶ τοῦ αἵματος, δωρησάμενος ὁμολογηθήσεται;
his and of-the blood having-given will-he-be-confessed
Ὥστε μετὰ πάσης πληροφορίας, ὡς σώματος καὶ αἵματος 3
so-that with all assurance as of-body and of-blood
μεταλαμβάνωμεν Χριστοῦ. Ἐν τύπῳ γὰρ ἄρτου, δίδοταί
let-us-partake of-Christ in type for of-bread is-given
σοι τὸ σῶμα· καὶ ἐν τύπῳ οἴνου, δίδοταί σοι τὸ αἷμα·
to-you the body and in type of-wine is-given to-you the blood

ἵνα γένῃ, μεταλαβὼν σώματος καὶ αἵματος Χριστοῦ,
that you-may-become having-partaken of-body and of-blood of-Christ
σύσσωμος καὶ σύναιμος αὐτοῦ. Οὕτω γὰρ καὶ Χριστοφόροι
of-one-body and of-one-blood with-him thus for also Christ-bearers
γινόμεθα, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος εἰς τὰ
we-become the body his and the blood into the
ἡμέτερα ἀναδιδομένου μέλη. Οὕτω κατὰ τὸν μακάριον
our being-distributed members thus according-to the blessed
Πέτρον, θείας κοινωνοὶ φύσεως γινόμεθα.
Peter of-divine sharers nature we-become

4 Ποτὲ Χριστὸς τοῖς Ἰουδαίοις διαλεγόμενος, ἔλεγεν· Ἐὰν
once Christ with-the Jews discoursing said if
μὴ φάγητέ μου τὴν σάρκα, καὶ πίητέ μου τὸ αἷμα, οὐκ
not you-eat my the flesh and drink my the blood not
ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ἐκεῖνοι μὴ ἀκηκοότες πνευματικῶς
you-have life in yourselves they not having-heard spiritually
τῶν λεγομένων, σκανδαλισθέντες ἀπῆλθον εἰς τὰ
the(-things) said scandalized went-away to the(-things)
ὀπίσω, νομίζοντες ὅτι ἐπὶ σαρκοφαγίαν αὐτοὺς προτρέπεται.
behind thinking that to flesh-eating them he-urges

5 Ἦσαν καὶ ἐν Παλαιᾷ Διαθήκῃ ἄρτοι προθέσεως· ἀλλ᾽
there-were also in Old Covenant loaves of-presentation but
ἐκεῖνοι Παλαιᾶς ὄντες Διαθήκης, τέλος εἰλήφασιν. Ἐν δὲ
those of-Old being Covenant end have-received in and
τῇ Καινῇ Διαθήκῃ, ἄρτος οὐράνιος καὶ ποτήριον σωτηρίου,
the New Covenant bread heavenly and cup of-salvation
ψυχὴν καὶ σῶμα ἁγιάζοντα. Ὥσπερ γὰρ ὁ ἄρτος σώματι
soul and body sanctifying just-as for the bread to-the-body
κατάλληλος, οὕτω καὶ ὁ Λόγος τῇ ψυχῇ ἁρμόδιος.
suited so also the Word to-the soul fitted

Μὴ πρόσεχε οὖν ὡς ψιλοῖς τῷ ἄρτῳ καὶ τῷ οἴνῳ· σῶμα 6
not attend then as to-plain the bread and the wine body
γὰρ καὶ αἷμα Χριστοῦ κατὰ τὴν δεσποτικὴν τυγχάνει
for and blood of-Christ according-to the Master's are
ἀπόφασιν. Εἰ γὰρ καὶ ἡ αἴσθησίς σοι τοῦτο ὑποβάλλει,
declaration if for even the sense to-you this suggests
ἀλλὰ ἡ πίστις σε βεβαιούτω. Μὴ ἀπὸ τῆς γεύσεως
but the faith you let-confirm not from the taste
κρίνῃς τὸ πρᾶγμα· ἀλλ᾽ ἀπὸ τῆς πίστεως πληροφοροῦ
judge the thing but from the faith be-assured
ἀνενδοιάστως, σώματος καὶ αἵματος Χριστοῦ καταξιωθείς.
without-hesitation of-body and blood of-Christ deemed-worthy
Καὶ ὑπαγορεύσει σοι Δαβὶδ ὁ μακάριος τὴν δύναμιν, 7
and will-dictate to-you David the blessed the power
λέγων· Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν
saying you-prepared before me table opposite the(-ones)
θλιβόντων με. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Πρὸ τῆς σῆς
afflicting me what and he-says such is before the your
παρουσίας, τράπεζαν οἱ δαίμονες τοῖς ἀνθρώποις ἡτοίμασαν,
coming table the demons for-the men prepared
ἠλισγημένην καὶ μεμιασμένην, καὶ διαβολικῆς πεπληρωμένην
polluted and defiled and with-devilish filled
δυνάμεως· ἀλλὰ μετὰ τὴν σὴν παρουσίαν, ὦ Δέσποτα,
power but after the your coming O Master
ἡτοίμασας ἐνώπιόν μου τράπεζαν. Ὅταν ὁ ἄνθρωπος λέγῃ
you-prepared before me table when the man says
Θεῷ· Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, τί ἄλλο σημαίνει
to-God you-prepared before me table what else does-it-signify
ἢ τὴν μυστικὴν καὶ νοητὴν τράπεζαν, ἣν ὁ Θεὸς ἡμῖν
than the mystical and spiritual table which — God for-us
ἡτοίμασεν ἐξεναντίας, ἀντὶ τοῦ ἐκ τοῦ ἐναντίου, καὶ
prepared opposite standing-for the from the opposite and

ἀντικειμένως τοῖς δαίμοσιν; Καὶ μάλα εἰκότως· ἐκείνη μὲν
in-opposition to-the demons and very fittingly that indeed
γὰρ κοινωνίαν ἔσχε δαιμόνων, αὕτη δὲ κοινωνίαν Θεοῦ.
for fellowship had of-demons this but fellowship of-God
Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. Ἐλαίῳ ἐλίπανέ σου
you-anointed with oil the head my with-oil he-anointed your
τὴν κεφαλὴν ἐπὶ μετώπου, διὰ τὴν σφραγῖδα, ἣν ἔχεις
the head on forehead because-of the seal which you-have
τοῦ Θεοῦ· ἵνα γένῃ ἐκτύπωμα σφραγῖδος, ἁγίασμα
— of-God that you-may-become impression of-seal sanctification
Θεοῦ. Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.
of-God and the cup your inebriating me as most-excellent
Ὁρᾷς ἐνταῦθα ποτήριον λεγόμενον, ὃ λαβὼν Ἰησοῦς
you-see here cup spoken-of which having-taken Jesus
μετὰ χεῖρας, καὶ εὐχαριστήσας, εἶπε· Τοῦτό μου ἐστὶ τὸ αἷμα,
in hands and having-given-thanks said this my is the blood
τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.
the(-blood) on-behalf-of many being-poured-out for forgiveness of-sins
8 Διὰ τοῦτο καὶ ὁ Σολομὼν ταύτην αἰνιττόμενος τὴν
because-of this also — Solomon this hinting-at the
χάριν, ἐν τῷ Ἐκκλησιαστῇ λέγει· Δεῦρο, φάγε ἐν
grace in the Ecclesiastes says come eat with
εὐφροσύνῃ τὸν ἄρτον σου (τὸν πνευματικὸν ἄρτον. Δεῦρο,
gladness the bread your (the spiritual bread come
καλεῖ τὴν σωτήριον καὶ μακαριοποιὸν κλῆσιν), καὶ πίε
he-calls the saving and blessed-making call) and drink
τὸν οἶνόν σου ἐν καρδίᾳ ἀγαθῇ (τὸν πνευματικὸν οἶνον),
the wine your with heart good (the spiritual wine)
καὶ ἔλαιον ὑπὲρ κεφαλῆς σου ἐκχείσθω· (ὁρᾷς αὐτὸν,
and oil upon head your let-be-poured (you-see him
καὶ τὸ μυστικὸν αἰνιττόμενον Χρῖσμα;) καὶ διὰ παντὸς
also the mystical hinting-at Chrism) and through all

ἔστω σου τὰ ἱμάτια λευκά, ὅτι εὐδόκησε Κύριος τὰ
let-be your the garments white because was-well-pleased Lord with-the
ποιήματά σου. Πρὶν γὰρ προσέλθῃς τῇ χάριτι, ματαιότης
works your before for you-approach the grace vanity
ματαιοτήτων ἦν τὰ ποιήματά σου. Ἀποδυσάμενον δὲ τὰ
of-vanities were the works your having-put-off and the
παλαιὰ ἱμάτια, καὶ ἐνδυσάμενον τὰ πνευματικῶς λευκά,
old garments and having-put-on the spiritually white
χρὴ λευχειμονεῖν διαπαντός. Οὐ πάντως τοῦτο λέγομεν,
it-is-right to-wear-white always not necessarily this we-say
ὅτι σε δεῖ λευκὰ ἱμάτια προβεβλῆσθαι ἀεί — ἀλλὰ τὰ
that you it-is-needful white garments to-wear always but the
ὄντως λευκὰ καὶ λαμπρὰ [καὶ πνευματικὰ], ἀναγκαῖόν ἐστι
really white and bright [and spiritual] necessary it-is
περιβεβλῆσθαι, ἵνα λέγῃς κατὰ τὸν μακάριον Ἡσαΐαν·
to-be-clothed-in that you-may-say according-to the blessed Isaiah
Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με
let-exult the soul my in the Lord he-clothed for me
ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι.
garment of-salvation and tunic of-gladness put-round me
Ταῦτα μαθὼν, καὶ πληροφορηθεὶς ὡς ὁ φαινόμενος 9
these-things having-learned and assured that the appearing
ἄρτος οὐκ ἄρτος ἐστὶν, εἰ καὶ τῇ γεύσει αἰσθητὸς, ἀλλὰ
bread not bread is if even to-the taste sensible but
σῶμα Χριστοῦ· καὶ ὁ φαινόμενος οἶνος, οὐκ οἶνός ἐστιν,
body of-Christ and the appearing wine not wine is
εἰ καὶ ἡ γεῦσις τοῦτο βούλεται, ἀλλὰ αἷμα Χριστοῦ· καὶ
if even the taste this wishes but blood of-Christ and
ὅτι περὶ τούτου ἔλεγε πάλαι ὁ Δαβὶδ ψάλλων· Καὶ ἄρτος
that about this said of-old — David singing and bread
καρδίαν ἀνθρώπου στηρίζει, τοῦ ἱλαρῦναι πρόσωπον ἐν
heart of-man strengthens for-the to-make-glad face with

ἐλαίῳ· στηρίζου τὴν καρδίαν, μεταλαμβάνων αὐτοῦ ὡς
oil strengthen the heart partaking it as
πνευματικοῦ· καὶ ἱλάρυνον τὸ τῆς ψυχῆς σου πρόσωπον. Ὃ
spiritual and make-glad the of-the soul your face which
γένοιτό σε ἀνακεκαλυμμένον ἔχοντα ἐν καθαρᾷ συνειδήσει,
may-it-be you unveiled having in pure conscience
τὴν δόξαν Κυρίου κατοπτριζόμενον, ἔρχεσθαι ἀπὸ δόξης εἰς
the glory of-Lord beholding-as-in-a-mirror to-go from glory to
δόξαν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ τιμὴ,
glory in Christ Jesus the Lord our to-whom the honor
καὶ κράτος, καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
and might and glory to the ages of-the ages amen

ΚΑΤΗΧΗΣΙΣ ΜΥΣΤΑΓΩΓΙΚΗ Ε΄

MYSTAGOGICAL LECTURE V · ON THE LITURGY

Cyril walks the newly enlightened through the liturgy. The deacon gives the priest and the presbyters around the altar water for their hands, a sign of sinlessness, then calls for the kiss of reconciliation. The priest cries, Lift up your hearts, and they answer, We have them to the Lord; then follow the thanksgiving, the remembrance of creation, the Sanctus, and the invocation of the Spirit on the gifts. Over the sacrifice they pray for the churches, the emperors, and all in need, and for the departed, offering for them Christ slain. He expounds the Lord's Prayer phrase by phrase, then Holy things to the holy and Taste and see. They take the body in the hollowed palm, the left hand a throne for the right, and the cup bowing, and must keep these traditions unstained.

Ἐκ τῆς Πέτρου καθολικῆς Ἐπιστολῆς· Διὸ ἀποθέμενοι
from the of-Peter catholic Epistle wherefore having-put-away
πᾶσαν ῥυπαρίαν, καὶ πάντα δόλον, καὶ καταλαλιὰν, καὶ
all filthiness and all guile and slander and
τὰ ἑξῆς.
the next

Τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἐν ταῖς προλαβούσαις συνάξεσιν, 1
by-the — of-God love-for-man in the preceding assemblies
ἀρκούντως ἀκηκόατε περί τε βαπτίσματος, καὶ χρίσματος,
sufficiently you-have-heard about both baptism and chrism
καὶ μεταλήψεως σώματος καὶ αἵματος Χριστοῦ· νῦν δὲ ἐπὶ
and partaking of-body and blood of-Christ now but to
τὰ ἑξῆς μεταβαίνειν ἀναγκαῖον, σήμερον τὴν στεφάνην
the(-things) following to-pass-on necessary today the crown
ἐπιθήσοντας τῇ πνευματικῇ ὑμῶν τῆς ὠφελείας οἰκοδομῇ.
about-to-put on-the spiritual your of-the benefit edifice

2 Ἑωράκατε τοίνυν τὸν διάκονον τὸν νίψασθαι διδόντα
you-have-seen therefore the deacon the(-one) to-wash giving
τῷ ἱερεῖ, καὶ τοῖς κυκλοῦσι τὸ θυσιαστήριον τοῦ Θεοῦ
to-the priest and to-the encircling the altar — of-God
πρεσβυτέροις. Οὐ πάντως δὲ ἐδίδου διὰ τὸν σωματικὸν
presbyters not necessarily and he-gave because-of the bodily
ῥύπον· οὐκ ἔστι τοῦτο. Οὔτε γὰρ ῥύπον σώματος ἔχοντες,
dirt not is this nor for dirt of-body having
τὴν ἀρχὴν εἰσήειμεν εἰς τὴν ἐκκλησίαν. Ἀλλὰ σύμβολόν
(at)-the outset we-entered into the church but symbol
ἐστι, τοῦ δεῖν ὑμᾶς καθαρεύειν πάντων ἁμαρτημάτων
it-is of-the to-be-needful you to-be-clean from-all sins
καὶ ἀνομημάτων, τὸ νίψασθαι. Ἐπειδὴ γὰρ αἱ χεῖρες
and iniquities the to-wash since for the hands
σύμβολον πράξεως· νίψασθαι ταύτας, τὸ καθαρὸν δηλονότι
symbol of-action to-wash them the pureness evidently
καὶ ἄμωμον τῶν πράξεων αἰνιττόμεθα. Οὐκ ἤκουσας τοῦ
and blamelessness of-the actions we-hint-at not did-you-hear the
μακαρίου Δαβὶδ αὐτὸ τοῦτο μυσταγωγοῦντος, καὶ λέγοντος,
blessed David itself this mystagogically-teaching and saying
Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ
I-will-wash among innocent the hands my and will-encircle the
θυσιαστήριόν σου, Κύριε; Οὐκοῦν τὸ νίψασθαι τὰς χεῖρας,
altar your Lord therefore the to-wash the hands
τοῦ ἀνυπεύθυνον εἶναι ἁμαρτήμασι σύμβολόν ἐστιν.
of-the not-accountable to-be to-sins symbol is

3 Εἶτα βοᾷ ὁ διάκονος· Ἀλλήλους ἀπολάβετε, καὶ ἀλλήλους
then cries the deacon one-another receive and one-another
ἀσπαζώμεθα. Μὴ ὑπολάβῃς τὸ φίλημα ἐκεῖνο σύνηθες εἶναι
let-us-kiss not suppose the kiss that customary to-be
τοῖς ἐπ᾽ ἀγορᾶς γινομένοις ὑπὸ τῶν κοινῶν φίλων.
with-the(-kisses) in market given by the common friends

Οὐκ ἔστι τοίνυν τοιοῦτον τὸ φίλημα. Ἀνακίρνησι τὰς ψυχὰς,
not is therefore such the kiss it-blends the souls
ἀλλήλαις, καὶ πᾶσαν ἀμνησικακίαν αὐταῖς μνηστεύεται.
with-one-another and all forgetfulness-of-wrongs for-them it-betroths
Σημεῖον τοίνυν ἐστὶ τὸ φίλημα, τοῦ ἀνακραθῆναι τὰς
sign therefore is the kiss of-the to-be-blended the
ψυχὰς, καὶ πᾶσαν ἐξορίζειν μνησικακίαν. Διὰ τοῦτο
souls and all to-banish remembrance-of-wrongs because-of this
ὁ Χριστὸς ἔλεγεν· Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ
— Christ said if you-offer the gift your at the
θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει
altar and there remember that the brother your has
τι κατὰ σοῦ· ἄφες τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον,
something against you leave the gift your at the altar
καὶ ὕπαγε πρῶτον, καὶ διαλλάγηθι τῷ ἀδελφῷ σου·
and go first and be-reconciled to-the brother your
καὶ τότε προσελθὼν, πρόσφερε τὸ δῶρόν σου. Οὐκοῦν τὸ
and then having-come offer the gift your therefore the
φίλημα διαλλαγή ἐστι, καὶ διὰ τοῦτο ἅγιον· ὥς που
kiss reconciliation is and because-of this holy as somewhere
ὁ μακάριος Παῦλος ἐβόα λέγων. Ἀσπάσασθε ἀλλήλους
the blessed Paul cried saying greet one-another
ἐν φιλήματι ἁγίῳ· καὶ Πέτρος· Ἐν φιλήματι ἀγάπης.
with kiss holy and Peter with kiss of-love
Μετὰ τοῦτο βοᾷ ὁ ἱερεύς. Ἄνω τὰς καρδίας. Ἀληθῶς 4
after this cries the priest up the hearts truly
γὰρ, κατ᾽ ἐκείνην τὴν φρικωδεστάτην ὥραν δεῖ ἄνω
for at that the most-awful hour it-is-needful up
ἔχειν τὴν καρδίαν πρὸς τὸν Θεὸν, καὶ μὴ κάτω περὶ
to-have the heart toward — God and not down about
τὴν γῆν καὶ τὰ γήϊνα πράγματα. Δυνάμει τοίνυν ὁ
the earth and the earthly things in-effect therefore the

ἱερεὺς προστάττει, κατ᾽ ἐκείνην τὴν ὥραν πάντας ἀφιέναι
priest commands at that the hour all to-put-away
φροντίδας βιωτικὰς, μερίμνας τὰς κατ᾽ οἶκον, καὶ ἔχειν
cares worldly anxieties the(-ones) of house and to-have
ἐν οὐρανῷ τὴν καρδίαν πρὸς τὸν φιλάνθρωπον Θεόν.
in heaven the heart toward the loving-to-man God
Εἶτα ἀποκρίνεσθε. Ἔχομεν πρὸς τὸν Κύριον· τούτῳ
then you-answer we-have(-them) toward the Lord to-this
συγκατατιθέμενοι, δι᾽ ὧν ὁμολογεῖτε. Μηδεὶς δὲ τοιοῦτος
assenting through what you-confess let-no-one and such
παρέστω, ὡς στόματι μὲν λέγειν, Ἔχομεν πρὸς τὸν
be-present as with-mouth indeed to-say we-have(-them) toward the
Κύριον· τῇ δὲ διανοίᾳ, περὶ τὰς βιωτικὰς ἔχειν τὸν
Lord with-the but mind about the worldly to-have the
νοῦν φροντίδας. Πάντοτε μὲν οὖν Θεοῦ μνημονευτέον· εἰ
mind cares always indeed then God must-be-remembered if
δὲ τοῦτο διὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην ἀδύνατον,
but this because-of the weakness the human impossible
κατ᾽ ἐκείνην μάλιστα τὴν ὥραν τοῦτο φιλοτιμητέον.
at that especially the hour this must-be-striven-for
Εἶτα ὁ ἱερεὺς λέγει· Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ὄντως
then the priest says let-us-give-thanks to-the Lord truly
γὰρ εὐχαριστεῖν ὀφείλομεν, ὅτι ἀναξίους ὄντας ἡμᾶς
for to-give-thanks we-ought because unworthy being us
ἐκάλεσεν εἰς τὴν τηλικαύτην χάριν· ὅτι ἐχθροὺς ὄντας
he-called to the so-great grace because enemies being
ἡμᾶς κατήλλαξεν ὅτι Πνεύματος υἱοθεσίας κατηξίωσεν.
us he-reconciled because of-Spirit of-adoption he-deemed-worthy
Εἶτα λέγετε· Ἄξιον καὶ δίκαιον. Εὐχαριστοῦντες γὰρ
then you-say worthy and just giving-thanks for
ἡμεῖς ἄξιον ποιοῦμεν πρᾶγμα καὶ δίκαιον· αὐτὸς δὲ οὐ
we worthy do thing and just he but not

δίκαιον, ἀλλ᾽ ὑπὲρ τὸ δίκαιον ποιῶν, ἡμᾶς εὐηργέτησε,
just but beyond the just doing us benefited
καὶ τηλικούτων ἠξίωσεν ἀγαθῶν.
and of-so-great deemed-worthy good-things
Μετὰ ταῦτα, μνημονεύομεν οὐρανοῦ, καὶ γῆς, καὶ 6
after these-things we-make-mention of-heaven and earth and
θαλάσσης· ἡλίου καὶ σελήνης, ἄστρων, καὶ πάσης τῆς
sea of-sun and moon of-stars and of-all the
κτίσεως λογικῆς τε καὶ ἀλόγου, ὁρατῆς τε καὶ ἀοράτου·
creation rational both and irrational visible both and invisible
ἀγγέλων, ἀρχαγγέλων, δυνάμεων, κυριοτήτων, ἀρχῶν,
of-angels archangels powers dominions principalities
ἐξουσιῶν, θρόνων, τῶν χερουβὶμ τῶν πολυπροσώπων·
authorities thrones the cherubim the many-faced
δυνάμει λέγοντες τὸ τοῦ Δαβίδ. Μεγαλύνατε τὸν
in-effect saying the(-word) — of-David magnify the
Κύριον σὺν ἐμοί. Μνημονεύομεν καὶ τῶν σεραφὶμ, ἃ ἐν
Lord with me we-make-mention also of-the seraphim which in
Πνεύματι ἁγίῳ ἐθεάσατο Ἡσαΐας, παρεστηκότα κύκλῳ
Spirit holy beheld Isaiah standing round-about
τοῦ θρόνου τοῦ Θεοῦ· καὶ ταῖς μὲν δυσὶ πτέρυξι
the throne — of-God and with-the indeed two wings
κατακαλύπτοντα τὸ πρόσωπον, ταῖς δὲ δυσὶ τοὺς πόδας,
covering the face with-the and two the feet
καὶ ταῖς δυσὶ πετόμενα, καὶ λέγοντα. Ἅγιος, ἅγιος, ἅγιος
and with-the two flying and saying holy holy holy
Κύριος Σαβαώθ. Διὰ τοῦτο γὰρ τὴν παραδοθεῖσαν ἡμῖν
Lord Sabaoth because-of this for the handed-down to-us
ἐκ τῶν σεραφὶμ θεολογίαν ταύτην λέγομεν, ὅπως κοινωνοὶ
from the seraphim theology this we-say that sharers
τῆς ὑμνῳδίας ταῖς ὑπερκοσμίοις γενώμεθα στρατιαῖς.
of-the hymnody with-the supramundane we-may-become hosts

7 Εἶτα, ἁγιάσαντες ἑαυτοὺς διὰ τῶν πνευματικῶν τούτων
then having-sanctified ourselves through the spiritual these
ὕμνων, παρακαλοῦμεν τὸν φιλάνθρωπον Θεὸν, τὸ ἅγιον
hymns we-beseech the loving-to-man God the holy
Πνεῦμα ἐξαποστεῖλαι ἐπὶ τὰ προκείμενα· ἵνα ποιήσῃ
Spirit to-send-forth upon the(-gifts) set-forth that it-may-make
τὸν μὲν ἄρτον σῶμα Χριστοῦ, τὸν δὲ οἶνον αἷμα
the indeed bread body of-Christ the and wine blood
Χριστοῦ. Πάντως γὰρ οὗ ἐὰν ἐφάψαιτο τὸ ἅγιον Πνεῦμα,
of-Christ by-all-means for what — may-touch the holy Spirit
τοῦτο ἡγίασται καὶ μεταβέβληται.
this has-been-sanctified and changed

8 Εἶτα, μετὰ τὸ ἀπαρτισθῆναι τὴν πνευματικὴν θυσίαν,
then after the to-be-completed the spiritual sacrifice
τὴν ἀναίμακτον λατρείαν, ἐπὶ τῆς θυσίας ἐκείνης τοῦ
the bloodless worship over the sacrifice that of-the
ἱλασμοῦ παρακαλοῦμεν τὸν Θεὸν, ὑπὲρ κοινῆς τῶν
propitiation we-beseech — God for common of-the
Ἐκκλησιῶν εἰρήνης· ὑπὲρ τῆς τοῦ κόσμου εὐσταθείας·
Churches peace for the of-the world stability
ὑπὲρ βασιλέων· ὑπὲρ στρατιωτῶν καὶ συμμάχων· ὑπὲρ
for kings for soldiers and allies for
τῶν ἐν ἀσθενείαις· ὑπὲρ τῶν καταπονουμένων· καὶ
the(-ones) in sicknesses for the(-ones) oppressed and
ἁπαξαπλῶς, ὑπὲρ πάντων βοηθείας δεομένων δεόμεθα
in-a-word for all of-help needing pray
πάντες ἡμεῖς, καὶ ταύτην προσφέρομεν τὴν θυσίαν.
all we and this we-offer the sacrifice

9 Εἶτα μνημονεύομεν καὶ τῶν προκεκοιμημένων, πρῶτον
then we-make-mention also of-the(-ones) fallen-asleep-before first
πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων· ὅπως ὁ
patriarchs prophets apostles martyrs that —

Θεὸς ταῖς εὐχαῖς αὐτῶν καὶ πρεσβείαις προσδέξηται ἡμῶν
God by-the prayers their and intercessions may-receive our
τὴν δέησιν. Εἶτα καὶ ὑπὲρ τῶν προκεκοιμημένων ἁγίων
the supplication then also for the fallen-asleep-before holy
Πατέρων, καὶ ἐπισκόπων, καὶ πάντων ἁπλῶς τῶν
Fathers and bishops and all simply of-the(-ones)
ἐν ἡμῖν προκεκοιμημένων· μεγίστην ὄνησιν πιστεύοντες
among us fallen-asleep-before greatest benefit believing
ἔσεσθαι ταῖς ψυχαῖς, ὑπὲρ ὧν ἡ δέησις ἀναφέρεται,
to-be to-the souls for whom the supplication is-offered-up
τῆς ἁγίας καὶ φρικωδεστάτης προκειμένης θυσίας.
of-the holy and most-awful lying-before sacrifice
Καὶ βούλομαι ὑμᾶς ἀπὸ ὑποδείγματος πεῖσαι. Οἶδα 10
and I-wish you from example to-persuade I-know
γὰρ πολλοὺς τοῦτο λέγοντας· Τί ὠφελεῖται ψυχὴ, μετὰ
for many this saying what is-profited soul with
ἁμαρτημάτων ἀπαλλασσομένη τοῦδε τοῦ κόσμου, ἢ οὐ
sins departing this the world or not
μεθ᾽ ἁμαρτημάτων, ἐὰν ἐπὶ τῆς προσευχῆς μνημονεύηται;
with sins if at the prayer it-be-remembered
Ἆρα γὰρ, εἴ τις βασιλεὺς προσκεκρουκότας αὐτῷ
— for if some king having-offended him
ἐξορίστους ποιήσειεν, εἶτα οἱ τούτοις διαφέροντες,
exiles should-make then the(-ones) to-these belonging
στέφανον πλέξαντες, ὑπὲρ τῶν ἐν τιμωρίαις αὐτῷ
crown having-woven for the(-ones) in punishments to-him
τοῦτον προσενέγκωσιν, οὐκ ἂν αὐτοῖς ἄνεσιν δῴη
it should-offer not — to-them relief would-be-give
τῶν κολάσεων; Τὸν αὐτὸν τρόπον, καὶ ἡμεῖς ὑπὲρ
of-the punishments the same manner also we for
τῶν κεκοιμημένων, αὐτῷ τὰς δεήσεις προσφέροντες,
the(-ones) fallen-asleep to-him the supplications offering

κἂν ἁμαρτωλοὶ ὦσιν, οὐ στέφανον πλέκομεν· ἀλλὰ
even-if sinners they-be not crown weave but
Χριστὸν ἐσφαγιασμένον ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων
Christ slain for the our sins
προσφέρομεν, ἐξιλεούμενοι ὑπὲρ αὐτῶν τε καὶ ἡμῶν τὸν
we-offer propitiating for them both and us the
φιλάνθρωπον Θεόν.
loving-to-man God

11 Εἶτα, μετὰ ταῦτα τὴν εὐχὴν λέγομεν ἐκείνην, ἣν ὁ Σωτὴρ
then after these-things the prayer we-say that which the Savior
παρέδωκε τοῖς οἰκείοις αὐτοῦ μαθηταῖς, μετὰ καθαρᾶς
handed-down to-the own his disciples with pure
συνειδήσεως Πατέρα ἐπιγραφόμενοι τὸν Θεὸν, καὶ λέγοντες·
conscience Father inscribing — God and saying
Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Ὦ τῆς μεγίστης
Father our the(-one) in the heavens O the greatest
τοῦ Θεοῦ φιλανθρωπίας! Τοῖς ἀποπηδήσασιν αὐτοῦ,
— of-God love-for-man to-the(-ones) having-leaped-away from-him
καὶ ἐν ἐσχάτοις γενομένοις κακοῖς, τοσαύτην δεδώρηται
and in extreme having-been evils so-great he-has-granted
κακῶν ἀμνηστίαν, καὶ χάριτος μετουσίαν, ὡς καὶ Πατέρα
of-evils amnesty and of-grace participation that even Father
ἐπικαλεῖσθαι. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Οὐρανοὶ
to-call-upon(-him) Father our the(-one) in the heavens heavens
δὲ εἶεν ἂν καὶ οἱ τὴν τοῦ ἐπουρανίου φοροῦντες
and would-be — also the(-ones) the of-the heavenly wearing
εἰκόνα, ἐν οἷς ἐστι Θεὸς ἐνοικῶν καὶ ἐμπεριπατῶν.
image in whom is God dwelling and walking-about

12 Ἁγιασθήτω τὸ ὄνομά σου. Ἅγιόν ἐστι φύσει τὸ τοῦ Θεοῦ
hallowed-be the name your holy is by-nature the — of-God
ὄνομα, κἂν λέγωμεν, κἂν μὴ λέγωμεν. Ἐπεὶ δὲ καὶ ἐν
name even-if we-say even-if not we-say since but also among

τοῖς ἁμαρτάνουσιν ἔσθ᾽ ὅτε βεβηλοῦται, κατὰ
the(-ones) sinning there-are-times when it-is-profaned according-to
τὸ, Δι᾽ ὑμᾶς τὸ ὄνομά μου διαπαντὸς βλασφημεῖται
the because-of you the name my continually is-blasphemed
ἐν τοῖς ἔθνεσιν· εὐχόμεθα ἐν ἡμῖν ἁγιασθῆναι τὸ ὄνομα
among the gentiles we-pray in us to-be-hallowed the name
τοῦ Θεοῦ· οὐχ ὅτι ἐκ τοῦ μὴ εἶναι ἅγιον ἐπὶ τὸ εἶναι
— of-God not that from the not to-be holy to the to-be
ἔρχεται· ἀλλ᾽ ὅτι ἐν ἡμῖν ἅγιον γίνεται, ἁγιαζομένοις καὶ
it-comes but that in us holy it-becomes being-sanctified and
ἄξια τοῦ ἁγιασμοῦ ποιοῦσιν.
worthy-things of-the sanctification doing
Ἐλθέτω ἡ βασιλεία σου. Καθαρᾶς ψυχῆς ἐστι τὸ σὺν 13
come the kingdom your of-pure soul is the with
παῤῥησίᾳ φάναι· Ἐλθέτω ἡ βασιλεία σου. Ὁ γὰρ
boldness to-say come the kingdom your the(-one) for
ἀκούσας Παύλου λέγοντος· Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία
having-heard Paul saying not then let-reign the sin
ἐν τῷ θνητῷ ὑμῶν σώματι· ἀλλὰ καθάρας ἑαυτὸν πράξει
in the mortal your body but having-cleansed himself by-deed
καὶ ἐννοίᾳ καὶ λόγῳ, ἐρεῖ τῷ Θεῷ· Ἐλθέτω ἡ βασιλεία σου.
and thought and word will-say — to-God come the kingdom your
Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. 14
be-done the will your as in heaven also on the earth
Οἱ θεῖοι καὶ μακάριοι τοῦ Θεοῦ ἄγγελοι, τὸ τοῦ Θεοῦ
the divine and blessed — of-God angels the — of-God
θέλημα ποιοῦσι, καθὼς Δαβὶδ ψάλλων ἔλεγεν· Εὐλογεῖτε
will do as David singing said bless
τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ,
the Lord all the angels his mighty in-strength
ποιοῦντες τὰ θελήματα αὐτοῦ. Δυνάμει τοίνυν εὐχόμενος
doing the wills his in-effect therefore praying

τοῦτο λέγεις· Ὡς ἐν ἀγγέλοις γίνεται σου τὸ θέλημα,
this you-say as in angels is-done your the will
οὕτω καὶ ἐπὶ τῆς γῆς ἐν ἐμοὶ γένοιτο, Δέσποτα.
so also on the earth in me may-it-be-done Master
15 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Ὁ
the bread our the supersubstantial give us today the
ἄρτος οὗτος ὁ κοινὸς, οὐκ ἔστιν ἐπιούσιος. Ἄρτος
bread this the(-one) common not is supersubstantial bread
δὲ οὗτος ὁ ἅγιος, ἐπιούσιός ἐστιν· ἀντὶ τοῦ, ἐπὶ τὴν
but this the holy supersubstantial is instead-of the for the
οὐσίαν τῆς ψυχῆς κατατασσόμενος. Οὗτος ὁ ἄρτος, οὐκ
substance of-the soul appointed this the bread not
εἰς κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται· ἀλλ' εἰς
into belly goes and into drain is-cast-out but into
πᾶσάν σου τὴν σύστασιν ἀναδίδοται, εἰς ὠφέλειαν σώματος
all your the constitution is-distributed for benefit of-body
καὶ ψυχῆς. Τὸ δὲ, σήμερον, ἀντὶ τοῦ, καθ' ἡμέραν, λέγει·
and soul the and today instead-of the by day he-says
ὡς καὶ ὁ Παῦλος ἔλεγεν· Ἄχρις οὗ τὸ σήμερον καλεῖται.
as also — Paul said until — the today is-called
16 Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν
and forgive us the debts our as also we forgive
τοῖς ὀφειλέταις ἡμῶν. Πολλὰ γὰρ ἔχομεν ἁμαρτήματα.
the debtors our many for we-have sins
Πταίομεν γὰρ καὶ ἐν λόγῳ καὶ ἐν διανοίᾳ, καὶ πλεῖστα
we-stumble for both in word and in thought and very-many
καταγνώσεως ἄξια ποιοῦμεν. Καὶ ἐὰν εἴπωμεν, ὅτι
of-condemnation worthy-things we-do and if we-say that
ἁμαρτίαν οὐκ ἔχομεν, ψευδόμεθα, ὡς λέγει Ἰωάννης.
sin not we-have we-lie as says John
Καὶ πρὸς τὸν Θεὸν τιθέμεθα συνθήκας, συγχωρῆσαι
and toward — God we-make covenants to-forgive

ἡμῖν παρακαλοῦντες τὰ ἁμαρτήματα, ὡς καὶ ἡμεῖς τοῖς
us beseeching the sins as also we to-the
πέλας τὰ ὀφειλήματα. Ἐννοοῦντες τοίνυν ἀνθ᾽ οἵων
neighbors the debts considering therefore in-return-for what-kind
οἷα λαμβάνομεν, μὴ ἀναμείνωμεν, μηδὲ ὑπερτιθώμεθα
what-kind we-receive not let-us-wait nor delay
συγχωρεῖν ἀλλήλοις. Τὰ πταίσματα τὰ γινόμενα εἰς
to-forgive one-another the offenses the(-ones) done to
ἡμᾶς, μικρά ἐστι, καὶ εὐτελῆ, καὶ εὐδιάλυτα· τὰ δὲ
us small are and paltry and easily-settled the(-ones) but
εἰς Θεὸν ὑφ᾽ ἡμῶν γενόμενα, μεγάλα ἐστὶ, τῆς αὐτοῦ
against God by us done great are of-the his
μόνης δεόμενα φιλανθρωπίας. Πρόσεχε οὖν, μὴ διὰ τὰ
only needing love-for-man take-heed then lest because-of the
μικρὰ καὶ εὐτελῆ εἰς σὲ ἁμαρτήματα, ἀποκλείσῃς σεαυτῷ
small and paltry against you sins you-shut-out for-yourself
τῶν βαρυτάτων ἁμαρτημάτων τὴν παρὰ Θεοῦ συγχώρησιν.
of-the heaviest sins the from God forgiveness
Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, Κύριε. Ἆρα 17
and not lead us into temptation Lord —
τοῦτο διδάσκει, εὔχεσθαι ἡμᾶς μηδόλως πειρασθῆναι, ὁ
this does-be-teach to-pray us in-no-way to-be-tempted the
Κύριος; καὶ πῶς εἴρηται ἀλλαχοῦ· Ἀνὴρ ἀπείραστος,
Lord and how is-it-said elsewhere man untempted
ἀδόκιμος; καὶ πάλιν· Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί
unproved and again all joy consider brothers
μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις. Ἀλλὰ, μήποτε
my when into-temptations you-fall various but perhaps
τὸ εἰσελθεῖν ἐστιν εἰς πειρασμὸν, τὸ καταβαπτισθῆναι
the to-enter is into temptation the to-be-overwhelmed
ὑπὸ τοῦ πειρασμοῦ; Ἔοικε γὰρ ὁ πειρασμὸς ὥσπερ
by the temptation it-is-like for the temptation as-it-were

χειμάῤῥῳ τινὶ δυσκόλῳ πρὸς διάβασιν. Οἱ μὲν
to-torrent some difficult for crossing the(-ones) indeed
οὖν ἐν πειρασμοῖς μὴ καταβαπτιζόμενοι, διαβαίνουσιν,
then in temptations not overwhelmed cross-over
ἄριστοί τινες κολυμβηταὶ γινόμενοι, καὶ μηδόλως ὑπ᾽
best some swimmers becoming and in-no-way by
αὐτῶν κατασυρόμενοι. Οἱ δὲ μὴ τοιοῦτοι, εἰσιόντες
them swept-away the(-ones) but not such entering
καταβαπτίζονται. Οἷον, ὡς ἐπὶ παραδείγματος, Ἰούδας
are-overwhelmed for-instance as by example Judas
εἰσελθὼν εἰς τὸν τῆς φιλοχρηματίας πειρασμὸν, οὐ
having-entered into the of-the love-of-money temptation not
διενήξατο· ἀλλὰ καταβαπτισθεὶς, καὶ σωματικῶς καὶ
swam-through but overwhelmed both bodily and
πνευματικῶς ἀπεπνίγη. Πέτρος εἰσῆλθεν εἰς τὸν τῆς
spiritually was-drowned Peter entered into the of-the
ἀρνήσεως πειρασμόν· ἀλλὰ εἰσελθὼν οὐκ ἐβαπτίσθη, ἀλλὰ
denial temptation but having-entered not was-overwhelmed but
γενναίως διανηξάμενος ἐῤῥύσθη ἀπὸ τοῦ πειρασμοῦ. Ἄκουε
nobly having-swum-through was-rescued from the temptation hear
πάλιν ἀλλαχοῦ ὁλοκλήρων ἁγίων χοροῦ, εὐχαριστοῦντος
again elsewhere of-whole saints choir giving-thanks
ἐπὶ τοῦ ἐξαιρεθῆναι τοῦ πειρασμοῦ· Ἐδοκίμασας ἡμᾶς, ὁ
for the to-be-delivered from-the temptation you-proved us O
Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον· εἰσήγαγες
God you-tried us as is-tried the silver you-brought
ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν·
us into the snare you-laid afflictions upon the back our
ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν
you-made-mount men upon the heads our we-went
διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
through fire and water and you-brought-out us into refreshment

Ὁρᾷς αὐτοὺς παῤῥησιαζομένους, ἐπὶ τὸ διελθεῖν καὶ μὴ
you-see them speaking-boldly at the to-pass-through and not
ἐμπαρῆναι; Καὶ ἐξήγαγες ἡμᾶς, φησὶν, εἰς ἀναψυχήν. Τὸ εἰς
to-be-held-fast and you-brought-out us he-says into refreshment the into
ἀναψυχὴν ἐλθεῖν αὐτοὺς, ἐστὶ τὸ ἀπὸ πειρασμοῦ ῥυσθῆναι.
refreshment to-come them is the from temptation to-be-rescued
Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Εἰ ἦν τὸ, 18
but deliver us from the evil(-one) if were the
Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, τὸ τοῦ μηδόλως
not lead us into temptation the of-the in-no-way
πειρασθῆναι παραστατικὸν, οὐκ ἂν ἔλεγεν· Ἀλλὰ ῥῦσαι
to-be-tempted indicative not — he-would-say but deliver
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Πονηρὸς δὲ, ὁ ἀντικείμενος
us from the evil(-one) evil(-one) and the opposing
δαίμων, ἀφ᾽ οὗ ῥυσθῆναι εὐχόμεθα. Εἶτα μετὰ πλήρωσιν
demon from whom to-be-delivered we-pray then after completion
τῆς εὐχῆς λέγεις· Ἀμήν· ἐπισφραγίζων διὰ τοῦ Ἀμὴν,
of-the prayer you-say amen sealing through the amen
ὃ σημαίνει, γένοιτο, τὰ ἐν τῇ θεοδιδάκτῳ εὐχῇ.
which means may-it-be the(-things) in the God-taught prayer
Μετὰ ταῦτα λέγει ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις. Ἅγια 19
after these-things says the priest the holy-things to-the holy holy
τὰ προκείμενα, ἐπιφοίτησιν δεξάμενα ἁγίου Πνεύματος.
the(-things) set-forth coming-upon having-received of-holy Spirit
Ἅγιοι καὶ ὑμεῖς, Πνεύματος ἁγίου καταξιωθέντες. Τὰ
holy also you of-Spirit holy deemed-worthy the
ἅγια οὖν τοῖς ἁγίοις κατάλληλα. Εἶτα ὑμεῖς λέγετε·
holy-things then to-the holy suitable then you say
Εἷς Ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός. Ἀληθῶς γὰρ εἷς
one Holy one Lord Jesus Christ truly for one

ἅγιος, φύσει ἅγιος· ἡμεῖς δὲ καὶ ἅγιοι· ἀλλ᾽ οὐ φύσει,
holy by-nature holy we and also holy but not by-nature
ἀλλὰ μετοχῇ, καὶ ἀσκήσει, καὶ εὐχῇ.
but by-participation and discipline and prayer

20 Μετὰ ταῦτα, ἀκούετε τοῦ ψάλλοντος, μετὰ μέλους
after these-things you-hear the(-one) singing with melody
θείου προτρεπομένου ὑμᾶς εἰς τὴν κοινωνίαν τῶν ἁγίων
divine urging you to the communion of-the holy
μυστηρίων, καὶ λέγοντος· Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς
mysteries and saying taste and see that good
ὁ Κύριος. Μὴ τῷ λάρυγγι τῷ σωματικῷ ἐπιτρέπητε τὸ
the Lord not to-the throat the bodily entrust the
κριτικόν· οὐχὶ, ἀλλὰ τῇ ἀνενδοιάστῳ πίστει. Γευόμενοι
judging no but to-the undoubting faith tasting
γὰρ, οὐκ ἄρτου καὶ οἴνου κελεύονται γεύσασθαι, ἀλλὰ
for not bread and wine they-are-bidden to-taste but
ἀντιτύπου σώματος καὶ αἵματος τοῦ Χριστοῦ.
antitype of-body and blood — of-Christ

21 Προσιὼν οὖν, μὴ τεταμένοις τοῖς τῶν χειρῶν καρποῖς
approaching then not with-stretched-out the of-the hands wrists
προσέρχου, μηδὲ διῃρημένοις τοῖς δακτύλοις· ἀλλὰ τὴν
approach nor with-parted the fingers but the
ἀριστερὰν θρόνον ποιήσας τῇ δεξιᾷ, ὡς μελλούσῃ
left throne having-made for-the right as about-to
Βασιλέα ὑποδέχεσθαι· καὶ κοιλάνας τὴν παλάμην, δέχου
King to-receive and having-hollowed the palm receive
τὸ σῶμα τοῦ Χριστοῦ, ἐπιλέγων τὸ, Ἀμήν. Μετ᾽ ἀσφαλείας
the body — of-Christ saying-after the amen with care
οὖν ἁγιάσας τοὺς ὀφθαλμοὺς τῇ ἐπαφῇ τοῦ ἁγίου
then having-sanctified the eyes by-the touch of-the holy
σώματος, μεταλάμβανε, προσέχων μὴ παραπολέσῃς τι
body partake taking-heed lest you-lose anything

ἐκ τούτου αὐτοῦ. Ὅπερ γὰρ ἐὰν ἀπολέσῃς, τούτῳ ὡς
of it itself what for — you-lose this as
ἀπὸ οἰκείου δηλονότι ἐζημιώθης μέλους. Εἰπὲ γάρ μοι·
from own evidently you-were-deprived limb tell for me
Εἴ τίς σοι ἔδωκε ψήγματα χρυσίου, οὐκ ἂν μετὰ
if anyone to-you gave grains of-gold not — with
πάσης ἀσφαλείας ἐκράτεις, φυλαττόμενος μή τι αὐτῶν
all care would-you-hold guarding lest anything of-them
παραπολέσῃς, καὶ ζημίαν ὑποστῇς; Οὐ πολλῷ οὖν μᾶλλον
you-lose and loss you-incur not much then rather
ἀσφαλέστερον τοῦ χρυσίου καὶ λίθων τιμίων τιμιωτέρου,
more-carefully than-the gold and stones precious more-precious
διασκοπήσεις ὑπὲρ τοῦ μὴ ψίχαν σοι ἐκπεσεῖν;
will-you-watch for the not crumb to-you to-fall
Εἶτα, μετὰ τὸ κοινωνῆσαί σε τοῦ σώματος Χριστοῦ, 22
then after the to-have-communicated you of-the body of-Christ
προσέρχου καὶ τῷ ποτηρίῳ τοῦ αἵματος· μὴ ἀνατείνων
approach also to-the cup of-the blood not raising
τὰς χεῖρας, ἀλλὰ κύπτων, καὶ τρόπῳ προσκυνήσεως καὶ
the hands but bowing and in-manner of-worship and
σεβάσματος λέγων τὸ, Ἀμὴν, ἁγιάζου, καὶ ἐκ τοῦ αἵματος
reverence saying the amen be-sanctified also from the blood
μεταλαμβάνων Χριστοῦ. Ἔτι δὲ τῆς νοτίδος ἐνούσης
partaking of-Christ still and the moisture being-on
τοῖς χείλεσί σου, χερσὶν ἐπαφώμενος, καὶ ὀφθαλμοὺς καὶ
the lips your with-hands touching both eyes and
μέτωπον, καὶ τὰ λοιπὰ ἁγίαζε αἰσθητήρια. Εἶτα ἀναμείνας
forehead and the other sanctify senses then having-awaited
τὴν εὐχὴν, εὐχαρίστει τῷ Θεῷ τῷ καταξιώσαντί σε
the prayer give-thanks — to-God the(-one) having-deemed-worthy you
τῶν τηλικούτων μυστηρίων.
of-the so-great mysteries

23 Κατέχετε ταύτας παραδόσεις ἀσπίλους, καὶ ἀπροσκόπους
hold these traditions spotless and unoffending
ἑαυτοὺς διαφυλάξατε. Τῆς κοινωνίας ἑαυτοὺς μὴ
yourselves keep from-the communion yourselves not
ἀποῤῥήξητε· μὴ διὰ μολυσμὸν ἁμαρτιῶν, τῶν ἱερῶν
break-away not because-of defilement of-sins of-the sacred
τούτων καὶ πνευματικῶν ἑαυτοὺς ἀποστερήσητε μυστηρίων.
these and spiritual yourselves deprive mysteries
Ὁ δὲ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς·
— and God of-the peace may-he-sanctify you wholly
καὶ ὁλόκληρον ὑμῶν τὸ σῶμα, καὶ ἡ ψυχὴ, καὶ τὸ
and entire your the body and the soul and the
πνεῦμα, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
spirit at the coming of-the Lord our Jesus Christ
διατηρηθείη· ᾧ ἡ δόξα, τιμὴ, καὶ κράτος, σὺν Πατρὶ
may-be-preserved to-whom the glory honor and might with Father
[καὶ Υἱῷ] καὶ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς
[and Son] and holy Spirit now and always and to the
αἰῶνας τῶν αἰώνων. Ἀμήν.
ages of-the ages amen
